Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

600027841S

4/6 Ac 26/5 140.

# BIOGRAPHI GRAECI

## QUI AB HESYCHIO PENDENT

RECENSUIT

IOANNES FLACH.

---

BEROLINI.
S. CALVARY EIUSQUE SOCIUS.

MDCCCLXXXIII.

B

# BIOGRAPHI GRAECI

## QUI AB HESYCHIO PENDENT

RECENSUIT

IOANNES FLACH

BODLEIAN LIBRARY
14 AUG 83
OXFORD.

BEROLINI.
S. CALVARY EIUSQUE SOCIUS.
MDCCCLXXXIII.

216 . n. 57

# PRAEFATIO.

Cum majorem Hesychii Milesii editionem sumptibus Teubneri in lucem protulissem, statim a multis admonitus sum, ut ad eorum usum, qui rei philologae in academiis dediti sint nec pretiosos libros emere possint, minutam eamque quae non tanto pretio constaret Biographorum Graecorum editionem curarem. Quo facto mox textum majoris editionis Teubnerianae describere constitui. Nec multa mutare in animo erat, nisi quod eas vitas vel vitarum partes, quas ab Hesychii indole ac ingenio alienas duxi, in hac editione minoribus litteris imprimendas curavi, ut facilius a genuinis articulis dignoscerentur; praeterea autem et quae primus in textum recepi, uncis obliquis ⟨ ⟩ seclusi, quae subditicia sunt, uncis quadratis [ ], et quae cognomini alteri tribuenda videbantur, lineolis simpliciter rectis circumscripsi, quae tertio, lineolis duplicatis, id quod ex majore editione repetivi. Paucas autem vitas in hanc editionem recepi, quas in majore omittendas putaveram: *Ἀκάκιος*, *Ἀννίκερις*, *Ἀναξαγόρας*, *Ἔφορος καὶ Θεόπομπος*, *Ζάλευκος*, quamquam nullam ex iis ab Hesychio profectam esse consentaneum est.

Nonnullis autem de rebus paulo accuratius agere necesse est. Quamquam enim pleraeque vitae ex Suidae lexico fluxerunt, tamen nonnullae ex aliis fontibus manaverunt: ex scholiis Platonicis Agathonis et Aspasiae, ex Eudociae Violario Alexandri Myndii, Aristandri, Gesii, Demetrii Iliensis, Duridis, Nonni, ex scholiis Anthologiae Pal. Meleagri.

Deinde plures lectiones recepi, quae vel codicibus a me lustratis vel criticis debentur. In vita Alcibiadis ἦν add. Daub, Androclis τῶν τεχνολόγων scripsit Portus (τοῦ τεχνολογῶν vulg.), Antiphanis ἔγραψε seq. addidi ex Violario, Arati θηριακῶν ἐπιτήδεια conj. Kusterus, Aspasii υἱὸς addidi, Boli περὶ add. Kusterus, Genethlii μιᾷ ex Pseudo-Hesychio add. Meursius, Daphidae ὥστε καὶ corr. Hemsterhusius, Demadis ὃς inser. Bernhardy, Dionysii ὁ add. Daub, Dion. Alexandri ἦν καὶ add. Rohde Hecataei ὑπὸ addidi, γέγονε — αὐτόν ex A recepi, Epaphroditi Ἀρχιβίου corr. Bernhardy (Ἀρχίου libri), Epicuri ὧν pro ὤν corr. Westerm., qui numerum post ὧν excidisse putat, κληθέντος addidi ex A, Eratosthenis τοῦ add. Bernhardy, Hermagorae ἐκ corr. Reinesius om. libri, Hermiae φιλόσοφος addidi ex Violario, Eugenii ἐς add. Daub, Eudaemonis εἰς add. Daub, Eudemi οἱ add. Daub, Eupolidis μὲν accepi ex A, Euripidis φασιν inserui cum Moschopulo, Eustephii in verbis corruptis, quae varie libri docti sanare tentaverunt, lacunam indicavi, Euphorionis ἐκεῖσε scripsi cum AV (ἐκεῖ vulg.), Ephori τὰ add. Daub, alterum τὰ ipse addidi, Heraclidis Εὐθύφρονος recepi ex Diog. Laert. V, 86, Hesiodi Πορφύριος δὲ scripsi cum Westerm. (δὲ om. vulg.), Theognidis εἰς τοὺς σωθέντας ἐν τῇ πολιορκίᾳ τῶν Συρ. conj. Sitzler, εἰς τοὺς σωθ. τῶν Συρ. ἐν τῇ πολ. libri, Theodori Gadarensis ἐπειδὴ correxi (ἐπεὶ δὲ libri), Theopompi Iliensis τὰ accepi ex BE, Theramenis ἀνῃρέθη seq. ex insequente Suidae glossa inserui, Thrasymachi καὶ κόμμα et Γοργίου, διδάσκαλος δὲ add. Fritzsche in Proleg. Lucian., Juliani Domni τῆς add. Westerm., Jophontis ἢ add. Valckenaer, Capitonis Lycii τοῦ add. Daub, Quadrati τὰ add. Daub, Lycurgi εἰς ipse addidi. Marsyae κατιὼν corr. A. v. Gutschmid, καὶ libri, τῆς inseruit Ritschl, om. libri, Marsyae verba seclusa expunxit Ritschl, Melissi οὗτος in initio articuli addidi, infra expunxi, καὶ ipse addidi, Menandri Laodicensis τὰ add. Daub, Metagenis ἢ suspectum

Meinekio sustulit Daub, Musaei ex Toupii conjectura εἷς τῶν τοῦ Περγαμηνοῦ καὶ αὐτὸς κύκλου scripsi καὶ αὐτὸς εἷς τῶν τοῦ Π. κ., (καὶ αὐτὸς τῶν εἰς τοὺς Περγαμηνοὺς κύκλους libri), Nicandri οὐ add. O. Schneider, Nicolai Damasceni βίου ante Καίσαρος delevit Bernhardy, νέου corr. A. v. Gutschmid, Nicomachi Alex. utrumque ἢ del. Bernhardy, Xenocratis nomen Xenocr. Aphrod. supplevi coll. Suid. v. οἰώνισμα, Homeri νύμφης addidi ex V, χρόνῳ sub fin. delevit Daub, Homeri tragici οἱ add. Daub, Homeri Sellii ὁ add. Daub, Orphei λιθικά add. Bernhardy Orphei Ciconaei ἢ post Ἀρκὰς inseruit Gutschmid, Vestini ὁ addidi, Pacati ὁ add. Daub, Palamedis verba καὶ ὑπὸ τοῦ Ὁμήρου recepi ex A, in quo sequentia desunt, Platonis verba Γλαύκωνος seq. cum Hemsterhusio inserui, ἐπὶ ἔτη η' pro ἐ. ἐ. κ' corr. Rohde, Polemonis Iliensis ἐκ add. Daub, διὸ seq. expunxit Preller, τὰ πρὸς seq. ex V recepi, Ἀντίγονον add. Bernhardy, αὐτῶν κτίσεις del. Gutschmid, Polybii verbis ἰστέον, ὅτι seclusis δὲ inserui, Porphyrii verba Ἀμελίου τοῦ et μαθητοῦ expunxi, Posidonii verbum καὶ transtuli, καίπερ suasit Rohde (καὶ vulg.), Procopii δὲ addidi, Polionis Πολλίων corr. Kusterus, Sabini εἷς del. Bernhardy, Simmiae περὶ ex Diogene addidi, Sophoclis καταλογάδην cum A expunxi, Stesichori ἐκ ex Vaccepi, Sotadis ἢ supplevit Westermann, Sophili δὲ add. Rohde, Teucri τὰ sumpsi ex V, Timocharis nomen supplevit Gutschmid, Timesithei καὶ add. Meineke, Timothei ὢν add. Daub, Tyrannionis alterius κοὐκ αὐθιγενής corr. Planer et Rohde, (ἐκ τοῦ Ἀντιγένους ὅτι Ἀντιγένης meliores libri), verba ἢ seq. ut glossema ejeci, Philemonis ζ' add. Meineke, Philoxeni τῆς add. Bernhardy, Philippi Opuntii nomen ipse addidi, Characis Ἰταλικῶν add. Westermann.

Ex Hesychii Onomatologo plures denique fluxerunt vitae vel vitarum partes in scholiis nostris Platonicis praesertim servatae, quas deinceps enumerabo:

1. schol. Anthol. Pal. (Iacobs, Anth. VI p. LI; Dindorf p. XIX): Ἀγαθίου σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου, οὐ στέφανος, ἀλλὰ συναγωγὴ νέων ἐπιγραμμάτων. ἤκμασεν δ' οὗτος ὁ Ἀγαθίας ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου. ἔγραψεν δὲ καὶ ἱστορίαν καὶ τὰ ἐπονομαζόμενα Δαφνιακά. ἔγραψε δὲ ταῦτα ἐπιγράμματα πρὸς Θεόδωρον Δεκουρίωνα.

2. schol. Plat. VI, 266 Herm.: Ἀνακρέων δὲ καὶ οὗτος λυρικὸς ποιητὴς Σκυθίνου ἢ Παρθενίου, Τήϊος.

3. schol. Plat. VI, 279: Ἀναξαγόρας δὲ φυσικὸς φιλόσοφος, ὁ Νοῦς ἐπικληθεὶς, ὅτι τοῦτον πρῶτος πάντων ἐπέστησε τῷ παντί.

4. schol. Platon. VI, 360: Ἀνάχαρσις, Γνούρου υἱὸς τοῦ βασιλέως Σκυθῶν, μητρὸς δ' Ἑλληνίδος, διὸ καὶ δίγλωσσος ἦν. οὗτος ἐξενώθη ἐν Ἀθήναις Σόλωνι καὶ ἐπανελθὼν εἰς τὴν Σκυθίαν ἔθη Ἑλληνικὰ παραδιδάξαι ἐτοξεύθη ὑπὸ τοῦ ἀδελφοῦ καὶ ἀποπνέων ἔφη· διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ πατρίδι ἀνῃρέθην. Cf. Unters. über Suid. u. Eud. p. 89. Erravit Daub, de Viol. p. 24.

5. schol. Platon. VI, 227: Ἀριστοφάνης ὁ κωμῳδιοποιὸς φαλακρὸς ἦν, ὡς αὐτός φησιν Εἰρήνῃ· ἐκωμῳδεῖτο δ' ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος· ʻ τίς δὲ σύ; κομψός τις ἔροιτο θεατὴς ὑπολεπτόλογος, γνωμιδιώτης εὐριπιδαριστοφανίζων', καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις. ʻ χρῶμαι γὰρ αὐτοῦ, φησί, τοῦ στόματος τῷ στρογγύλῳ· τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ'. Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν· οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν, ὡς καὶ Φιλόχορος ἐν τῇ πρώτῃ περὶ ἡμερῶν ἱστορεῖ. ταύτῃ δὲ καὶ Ἡρακλῆ φασι γεννηθῆναι. τρεῖς δ' ἔσχεν υἱούς, Φίλιππον τὸν τοῦ Εὐβούλου δράμασιν ἀγωνισάμενον καὶ Ἀραρότα ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον καὶ τρίτον, ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον. κατεκλήρωσε δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δέ, ὅτι καὶ τὸ τῆς εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις. Cf. Mettauer, de font. p. 59 seq.

6. schol. Platon. VI, 390: Δίων ὁ Συρακούσιος, Ἱππαρίνου

*μὲν υἱὸς ἦν, ἀνεψιαδοῦς δὲ Διονυσίου τοῦ προτέρου, κατὰ δὲ οἰκειότητα τῆς γυναικὸς αὐτοῦ Ἀριστομάχης ἀδελφός, εὐφυΐᾳ δὲ καὶ μεγαλοψυχίᾳ καὶ φιλοτιμίᾳ διαφέρων τοῦ γενέσθαι τινὸς ἄξιος. Ἱππαρῖνος γὰρ παίδων ὄντων αὐτῷ τῶν περὶ Δίωνα, τριῶν μὲν υἱῶν, τριῶν δὲ θυγατέρων, τελευτῶν τὸν βίον ἐπίτροπον Διονύσιον κατέστησεν οἰκεῖον ὄντα, καὶ τὰς γυναῖκας ἅμα καὶ τὰς κόρας διέθηκε γῆμαι, Ἀριστομάχην μὲν τὴν πρεσβυτάτην αὐτόν, τὰς δὲ λοιπὰς τοῖς ἀδελφοῖς αὐτοῦ δοῦναι, Λεπτίνῃ τε καὶ Θεαρίδῃ. καὶ οὕτω γέγονε τελευτησάσης τῆς Λοκρίδος αὐτοῦ γυναικός, ἐκ* (l. *ἐξ*) *ἧς ἐγεγόνει αὐτῷ Διονύσιος ὁ νεώτερος, ὁμώνυμος αὐτῷ υἱός.* Totum scholion ex Hesychio pendere recte vidit Mettauer, de font. p. 59.

7. schol. Platon. VI, 279: *Ζήνων ὁ Ἐλεάτης, Παρμενίδου μαθητής, φυσικὸς φιλόσοφος καὶ πολιτικὸς ὡς ἀληθῶς· διὸ καὶ πρὸς Περικλέα παραβάλλεται φαινομένως ὄντα πολιτικόν* (de Pericle cf. v. *Μέλισσος*). *τούτου Πυθόδωρος ἀκροατής, ὃς καὶ ἐν Παρμενίδῃ μνήμης ἠξίωται ὡς Ἀντιφῶντι τῆς συνουσίας ἐκείνης μεταδούς, παρ' οὗ Κέφαλος ὁ Κλαζομένιος μαθὼν διδάσκαλος γέγονε.* Cf. Mettauer p. 59, qui de Hesychio dubitavit.

8. schol. Platon. VI, 347: *Ἡράκλειτος Βαθέωνος, Ἐφέσιος, μεγαλόφρων γεγονὼς καὶ ὑπερόπτης παρ' ὁντινοῦν. οὗτος τὸ τοῦ ἡλίου ἔλεγεν εἶναι σχῆμα σκαφοειδὲς καὶ ὑπόκυρτον καὶ τὴν ἔκλειψιν αὐτοῦ συμβαίνειν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν. ἀλλὰ μὴν καὶ Ξενοφάνη τὸν Κολοφώνιον κατὰ σβέσιν τὴν ἡλιακὴν ἔκλειψιν λέγειν γίγνεσθαί φασι καὶ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἀνίσχειν αὐτόν.*

9. schol. Platon. VI, 360: *Θάλης Ἐξαμύου, Μιλήσιος, Φοῖνιξ δὲ καθ' Ἡρόδοτον. οὗτος πρῶτος ὠνομάσθη σοφός· εὗρε γὰρ τὸν ἥλιον ἐκλείπειν ἐξ ὑποδρομῆς σελήνης, καὶ μικρὰν ἄρκτον αὐτὸς ἔγνω καὶ τὰς τροπὰς πρῶτος Ἑλλήνων καὶ περὶ μεγέθους ἡλίου καὶ φύσεως, ἄλλα καὶ ἄψυχα ψυχὴν ἔχειν ὁπωσοῦν ἐκ τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. ἀρχὴν δὲ τῶν στοιχείων τὸ ὕδωρ, τὸν δὲ κόσμον ἔμψυχον ἔφη καὶ δαιμόνων πλήρη. ἐπαιδεύθη ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἱερέων. τούτου τὸ 'γνῶθι σαυτόν'. ἐτελεύτησε δὲ μονήρης, γηραιός, γυμνικὸν ἀγῶνα θεώμενος, ὑπὸ καύματος ἐκλυθείς.*

10. schol. Lucian. Amor. 50 (Iacobitz IV, 163): *Θηρα-*

*μένης, Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου, ὃς ἐπεκαλεῖτο Κόθουρνος.*

11. schol. Platon. VI, 361: *Κρεώφυλος Χῖος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβε παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος.* Cf. Unters. über Suid. u. Eud. p. 88.

12. schol. Platon. VI, 371: *Μαρσύας* (cujus vita in Suidae lexico desideratur) *Ὑάγνιδος ὁ πρῶτος μετὰ Ἀθηνᾶν αὐλῶν εὑρετής, εἶτα Φρυγίου καὶ Μιξολυδίου ἁρμονίας. οὗτος ἐς τοσοῦτον προῆλθεν αὐλητικῆς, ὡς περὶ αὐτῆς ἐρίσαι Ἀπόλλωνι, τοῦ πλεονεκτήσαντος τὴν κρίσιν ποιουμένων Μουσῶν, καὶ δὴ νικηθεὶς ὑπ' αὐτοῦ δίδωσι δίκην τῆς ἥττης τὸ δέρμα δαρείς· οὗ δὴ ἀπὸ τοῦ σώματος ῥυέντος αἵματος ποταμὸς προῆλθεν ὁ τούτῳ ὁμώνυμος.*

13. schol. Platon. VI, 226 (cf. etiam VI, 228): *Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδίδασκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται. μέμνηται αὐτοῦ καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ.*

14. schol. Platon. VI, 371: *Ὄλυμπον δέ τινες οὐ Φρύγα, Μυσὸν δέ φασι καὶ τοῦτον γενέσθαι πρῶτον κρουμάτων εὑρετήν.*

15. schol. Platon. VI, 361: *Πρόδικος, Κεῖος, φυσικὸς φιλόσοφος, Δημοκρίτου σύγχρονος τοῦ Ἀβδηρίτου, Γοργίου δὲ καὶ Πρωταγόρου μαθητής. τελευτᾷ κώνειον πιὼν ὑπ' Ἀθηναίων ὡς τοὺς νέους διαφθείρων* (cf. VI, 274).

16. schol. Platon. VI, 361: *Πρωταγόρας, Ἀρτέμωνος, Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτῳ ἐφιλοσόφησε καὶ ἐπὶ ῥητορείαν ἔσχε καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ'. διὸ καὶ ἐπεκλήθη Λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ' Ἀθηναίων. εἶπε γάρ· περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσίν. ἔγραψε δὲ εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἐτῶν ἐνενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα.* Scholiastam ex parte Suida uberiorem esse patet, itaque erravit **Daub**, de Viol. p. 24.

17. schol. Platon. VI, 360: *Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, Τυρρηνός. νέος δὲ ὢν ἦλθεν ἐκ Τυρρηνῶν εἰς Σάμον καὶ διήκουσε Φερεκύδου τοῦ Συρίου, εἶτα Ἑρμοδάμαντος, ἐν Σάμῳ ἀμφοῖν, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρατος τοῦ μάγου. μεθ' οὓς ὑπὸ Αἰγυπτίων καὶ Χαλδαίων ἐπαιδεύθη. εἶτα εἰς Σάμον ἐλθὼν διὰ Πολυκράτη τὸν τύραννον ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καί τ' ἔσχε μαθητάς, προτέρους τε ἀδελφοὺς Εὔνομον καὶ Τυρρηνὸν καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται θύουσιν ως Κρόνῳ, γαμετήν τε Θεανώ, ἐξ ἧς παῖδες Τηλαύγης ὁ σχολαρχήσας μετ' αὐτὸν καὶ Δάμων, ἢ ὥς τινες Μνήσαρχος, θυγάτηρ δὲ Μυῖα, ἢ ὥς τινες Ἀριγνώτη. συνεγράψατο δὲ βιβλία τρία, παιδευτικόν, πολιτικόν, φυσικόν. τὸ δὲ φερόμενον* (add. *τρίτον*) *ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ, φυγόντος εἰς Θήβας ἐκ τοῦ ἐμπρησμοῦ καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ καὶ τὰ χρυσᾶ ἔπη Πυθαγόρου φασὶν εἶναι. ἀπείχετο δὲ τῶν ἐμψύχων καὶ κυάμων καὶ τὴν ψυχὴν ἔφη ἀθάνατον. ἐνενηκοντούτης δὲ τελευτᾷ μετὰ μαθητῶν μ, ἐμπρησθέντων ἐν οἰκίᾳ τῇ αὐτῇ. ἄλλοι δέ φασιν, ὅτι πολεμῶν μετὰ τῶν μαθητῶν ὑπὸ Ἀκραγαντίνων ἀπώλετο.* Unde apparet, in Suidae articulo extrema Hesychii verba excidisse.

18. schol. Platon. VI, 279: *Πυθοκλείδης* (cujus vita in Suidae lexico desideratur) *μουσικὸς ἦν τῆς σεμνῆς μουσικῆς διδάσκαλος, καὶ Πυθαγόρειος, οὗ μαθητὴς Ἀγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων.*

19. schol. Platon. VI, 266: *Σαπφὼ λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μιτυληναία.*

20. schol. Platon. VI, 359: *Σόλων Ἀθηναῖος, Ἐξηκεστίδου υἱός, σοφὸς καὶ νομοθέτης καὶ δημαγωγὸς γεγονώς. οὗτος Πεισιστράτου κατειπὼν μέλλοντος τυραννεῖν διὰ τὴν ἐξ αὐτοῦ ἐπιβουλὴν ἀπεδήμησεν εἰς Αἴγυπτον καὶ Κύπρον, ἀλλὰ καὶ πρὸς Κροῖσον τὸν βασιλέα Λυδῶν, εἶτα εἰς Κιλικίαν, οὗ κτίζει πόλιν Σόλους λεγομένην, ἐν ᾗ τοὺς κατοικισθέντας ὑπ' αὐτοῦ Ἀθηναίους, πολλὰ τῆς Ἑλλάδος φωνῆς διὰ τὸ χρόνῳ βαρβαρωθῆναι παραφθεγγομένους, σολοικίζειν καὶ σολοίκους ἔλεγον, ἐξ οὗ καὶ σολοικισμός. τούτου τὸ μηδὲν ἄγαν. ἔγραψε δὲ νόμους, οὓς ἄξονας ἐκάλεσαν, καὶ ὑποθήκας δι' ἐλεγείας. ἔτη δὲ γεγονὼς ὀγδοήκοντα ἐν Κύπρῳ τελευτᾷ.* Vitam Hesychianam esse vidit Rhode, Mus. Rhen. XXXIII p. 205 not., neglexit Mettauer p. 57 not. 1; Daub, de Viol. p. 24.

21. schol. Platon. VI, 364: *Τίμαιος ἐκ Λοκρῶν τῶν Ἐπι-*

*ζεφυρίων, τῆς ἐν Ἰταλίᾳ πόλεως, φιλόσοφος Πυθαγόρειος. ἔγραψε μαθηματικά τε καὶ περὶ φύσεως σύγγραμμα, τὸν Πυθαγορικὸν τρόπον*, quae ex Hesychio fluxisse patet, quamquam dissentit Mettauer p. 59.

In Meleagri vita in codice Anthol. Pal. servata ipse scholiasta de suo haec addidit: *ἀλλὰ Κωνσταντῖνος ὁ ἐπονομαζόμενος Κεφαλᾶς συνέχεεν αὐτὸς ἀφορίσας εἰς κεφάλαια διάφορα, ἤγουν ἐρωτικὰ ἰδίως καὶ ἀνάθεμα* (l. *ἀναθηματικά*) *καὶ ἐπιτύμβια καὶ ἐπιδεικτικά, ὡς νῦν ὑποτέτακται ἐν τῷ παρόντι πτυχτίῳ.* Cf. ed. Hesych. Mil. Proleg. XVIII.)

Scripsi Tubingae mense Februario.

I. Ἄβαρις Σκύθης, Σεύθου υἱός. συνεγράψατο δὲ χρησμοὺς τοὺς καλουμένους Σκυθικοὺς καὶ γάμον Ἕβρου τοῦ ποταμοῦ καὶ καθαρμοὺς καὶ θεογονίαν καταλογάδην, καὶ Ἀπόλλωνος ἄφιξιν εἰς Ὑπερβορέους ἐμμέτρως. ἧκε δὲ ἐκ Σκυθῶν εἰς Ἑλλάδα. τούτου ὁ μυθολογούμενος ὀϊστός, τοῦ πετομένου ἀπὸ τῆς Ἑλλάδος μέχρι τῶν Ὑπερβορέων Σκυθῶν· ἐδόθη δὲ αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος. τούτου καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ μνήμην πεποίηται. φασὶ δέ, ὅτι λοιμοῦ κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλλησί τε καὶ βαρβάροις τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήσασθαι. πρεσβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτούς, καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεσβευτὴν ἀφικέσθαι λέγουσι κατὰ τὴν νγ′ ὀλυμπιάδα.

II. Ἄβας σοφιστής, ἱστορικὰ ὑπομνήματα καὶ τέχνην ῥητορικὴν καταλιπών.

III. Ἄβρων Φρὺξ ἢ Ῥόδιος, γραμματικός, μαθητὴς Τρύφωνος, σοφιστεύσας ἐν Ῥώμῃ, γεγονὼς δὲ ἐκ δούλων, ὥς φησιν Ἕρμιππος.

IVª. Ἀγαθίας σχολαστικὸς Μυριναῖος, ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν [τὸν Καισαρέα, τὰ κατὰ Βελισάριον καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις, τουτέστι τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ]. οὗτος συνέταξε καὶ ἕτερα βιβλία, ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακὰ καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὃν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ Σιλεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβωνιανῷ ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.

IVᵇ. Ἀγάθων, τραγῳδίας ποιητής, εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει τῷ Γηρυτάδῃ. ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ, μεθ᾽ οὗ πρὸς Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας ὁ νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος.

V. Ἀγάπιος Ἀθηναῖος φιλόσοφος, μετὰ Πρόκλον ἀποιχόμενον ὑπὸ Μαρίνῳ, ὃς ἐθαυμάζετο ἐπὶ φιλομαθίᾳ καὶ ἀποριῶν προβολῇ δυσεπηβόλων.

VI. *Ἀγάπιος*. οὗτος ἦν Ἀλεξανδρεὺς μὲν τὸ γένος, ἐκ παίδων δὲ λόγοις ἐντραφεὶς ἐλευθερίοις καὶ ἰατρικῶν μαθημάτων ἐξηγητὴς γεγονώς, ἀνελθὼν εἰς τὸ Βυζάντιον διατριβήν τε συνεπήξατο μάλα διαπρεπῆ, φύσεώς τε μεγέθει καὶ δεξιότητι τύχης χρησάμενος, ἔνδοξός τε ἐπὶ τῇ τέχνῃ γέγονε καὶ χρήματα μεγάλα συνείλοχεν.

VII. *Ἀδριανὸς* σοφιστής, μαθητὴς Ἡρώδου, ἀκμάσας ἐπὶ Μάρκου Ἀντωνίνου, ἀντισχολαστὴς Ἀριστείδου τοῦ ῥήτορος ἐν Ἀθήναις γενόμενος. ἐσοφίστευσε δὲ καὶ κατὰ τὴν Ῥώμην, καὶ ἀντιγραφεὺς τῶν ἐπιστολῶν ὑπὸ Κομόδου ἐγένετο. μελέτας καὶ μεταμορφώσεις ἐν βιβλίοις ζ', περὶ ἰδεῶν λόγου ἐν βιβλίοις ε', περὶ τῶν ἐν ταῖς στάσεσιν ἰδιωμάτων ἐν βιβλίοις γ', ἐπιστολὰς καὶ λόγους ἐπιδεικτικούς, Φάλαριν, παραμυθητικὸν εἰς Κέλερα.

VIII. *Ἀθήναιος* Ναυκρατίτης γραμματικός, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου. ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφισταί, ἐν ᾧ μνημονεύει ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν. ὁ μέγας Ἀλέξανδρος κἀκείνην νικήσας ναυμαχίαν Λακεδαιμονίους, καὶ τειχίσας τὸν Πειραιᾶ καὶ ἑκατόμβην θύσας πάντας εἱστίασεν Ἀθηναίους. καὶ Ἀλκιβιάδης Ὀλύμπια νικήσας τὴν πανήγυριν ἅπασαν εἱστίασε. τὸ αὐτὸ καὶ Λεόφρων ὀλυμπιονίκης. καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, Ὀλύμπια νικήσας ἐκ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν πολυτελῶν ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασι. καὶ ὁ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον. καὶ ὁ Ἀκραγαντῖνος Τελλίας φιλόξενος ὢν καταλύσασί ποτε πεντακοσίοις ἱππεῦσιν ὥρᾳ χειμῶνος ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον. ὅτι Χάρμος ὁ Συρακούσιος εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. Κλέαρχος δὲ ὁ Σολεὺς δειπνολογίαν καλεῖ τὸ ποίημα, ἄλλοι ὀψολογίαν, Χρύσιππος γαστρονομίαν, ἄλλοι ἡδυπάθειαν. ὅτι ἐν τῷ συμποσίῳ Πλάτωνος εἰκοσιοκτὼ ἦσαν δαιτυμόνες.

IX. *Ἀθηνόδωρος* [οὗτος ἦν στρατιώτης Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος,] μαθητὴς Διονυσίου τοῦ Ἀρεοπαγίτου. ἔγραψε δὲ διάφορα. καὶ ἕτερος σοφιστής, ἀδελφὸς Γρηγορίου τοῦ θαυματουργοῦ.

X. *Αἰθέριος* ἐπῶν ποιητής. ἔγραψε διάφορα καὶ ἐπιθαλάμιον δι' ἐπῶν εἰς Σιμπλίκιον τὸν ἴδιον ἀδελφόν.

XI. *Αἰλιανός*, ἀπὸ Πραινεστοῦ τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστὴς ὁ χρηματίσας Κλαύδιος, ὃς ἐπεκλήθη μελίγλωσσος ἢ μελίφθογγος, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

XII. *Αἰνείας.* οὗτος ἔγραψε περὶ πυρσῶν, ὥς φησι Πολύβιος, καὶ περὶ στρατηγημάτων ὑπόμνημα.

XIII. *Αἴνικος* Ἀθηναῖος κωμικός, ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Ἄντεια ..... ἔστι δὲ καὶ Αἴνιος σοφιστής, οὗ τινος βιβλία αἱ Μετάβολοι ....

XIII[a]. *Αἰσχίνης* Ἀθηναῖος ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, μαθητὴς δὲ κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. [οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστάς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ κώνειον πιὼν ἀπέθανε, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη.] ᾤκησε μέντοι ἐν Ῥόδῳ καὶ ἐπαίδευσεν, ἡσσηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θείως λέγειν ἤκουσε διὰ τὸ σχεδιάζειν ὡς ἐνθουσιῶν.

XIII[b]. *Αἰσχίνης* Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου καὶ Λευκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτής, εἶτα γραμματεύς, εἶτα ῥήτωρ, προδότης ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανοῦν γράψαντα Δημοσθένην, ἡττήθη καὶ ἔφυγεν εἰς Ῥόδον καὶ ἐπαίδευσεν ἐκεῖ.

XIV. *Αἰσχίνης* Χαρίνου ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον Σφήττιον. διάλογοι δὲ αὐτοῦ Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης, καὶ οἱ καλούμενοι ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, περὶ ἀρετῆς, Ἐρασίστρατος, σκυτικοί.

XV. *Αἰσχρίων* Μιτυληναῖος ἐποποιός, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου. ἦν δὲ Ἀριστοτέλους γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν.

XVI. *Αἰσχύλος* Ἀθηναῖος τραγικός, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμεινίου [Εὐφορίωνος] καὶ Κυναιγείρου τῶν εἰς Μαραθῶνα ἀριστευσάντων ἅμα αὐτῷ. ἔσχε δὲ καὶ υἱοὺς τραγικοὺς δύο, Εὐφορίωνα καὶ Εὐαίωνα. ἠγωνίζετο δὲ αὐτὸς ἐν τῇ ο΄ ὀλυμπιάδι, ἐτῶν ὢν κε΄. οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ [καὶ] χρώμασι κεχρισμένα ἔχειν τοὺς τραγικούς, καὶ ταῖς ἀρβύλαις τοῖς καλουμένοις ἐμβάταις χρῆσθαι. ἔγραφε δὲ καὶ ἐλε-

γεῖα καὶ τραγῳδίας ς', νίκας δὲ εἷλεν κη', οἱ δὲ τρισκαίδεκά φασι. φυγὼν δὲ εἰς Σικελίαν διὰ τὸ πεσεῖν τὰ ἰκρία ἐπιδεικνυμένου αὐτοῦ, χελώνης ἐπιρριφείσης αὐτῷ ὑπὸ ἀετοῦ φέροντος κατὰ τῆς κεφαλῆς ἀπώλετο, ἐτῶν νη' γενόμενος.

XVII. *Αἴσωπος* Μιθριδάτου ἀναγνώστης. ἔγραφε περὶ Ἑλένης (ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη, ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα). ἔγραφε καὶ Μιθριδάτου ἐγκώμιον.

XVIII[a]. *Αἴσωπος* Σάμιος ἢ Σαρδιανός, Εὐγείτων δὲ Μεσημβριανὸν εἶπεν, ἄλλοι Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιός, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκριμάτων. διέτριψε δέ παρὰ Κροίσῳ φιλούμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου, ὡς μεσοῦν ἐπὶ τῆς μ' ὀλυμπιάδος. ἔγραφε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις β'. μᾶλλον δέ τινές φασι τὸν Αἴσωπον ἀποκρίματα γεγραφέναι μόνον· ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι, ὑπ' αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν, κατὰ τὴν νδ' ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ, ἄλλοι ἀνδρός τινος Σαμίου Ἰάδμονος, οὗ τινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν, ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ . . .

XVIII[b]. *Ἀκάκιος* ῥήτωρ δεινότατος, ἐπὶ Ἰουλιανοῦ καὶ Λιβανίου τοῦ σοφιστοῦ, ὃς ἐπεκάλει τὸν Ἰουλιανὸν καὶ διεμέμφετο τὰς χρίσεις αὐτοῦ σὺν Τουσκιανῷ τῷ ἐκ Φρυγίας καὶ αὐτῷ ῥήτορι ὄντι δεινῷ.

XIX. *Ἀκουσίλαος* Ἀθηναῖος ὤν, Ἀγαθοκλείας. οὗτος ἠράσθη λόγων ἐν Ἀθήναις, καὶ ἐλθὼν εἰς Ῥώμην ἐπὶ Γάλβα διέτριβεν ἐν λόγοις ῥητορικοῖς, καὶ χρηματισάμενος ἐν τῷ τελευτᾶν κατέλιπεν Ἀθηναίοις δέκα μυριάδας ἐκ τόκων.

XX. *Ἀκουσίλαος* Κάβα υἱός, Ἀργεῖος ἀπὸ Κερκάδος, πόλεως οὔσης Αὐλίδος πλησίον, ἱστορικὸς πρεσβύτατος. ἔγραφε δὲ γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ ὀρύξαντά τινα τόπον τῆς οἰκίας αὐτοῦ.

XXI. *Ἄκρων* Ἀκραγαντῖνος ἰατρός, υἱὸς Ξένωνος, ἐσοφίστευσεν ἐν ταῖς Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστιν οὖν πρεσβύτερος Ἱπποκράτους. ἔγραψε περὶ ἰατρικῆς Δωρίδι διαλέκτῳ, περὶ τροφῆς ὑγιεινῶν βιβλίον α'. ἔστι δὲ καὶ οὗτος τῶν τινα πνεύματα σημειωσαμένων. εἰς τοῦτον ἐποίησεν Ἐμπεδοκλῆς τωθαστικὸν ἐπίγραμμα "ἄκρον ἰατρὸν Ἄκρων', Ἀκραγαντῖνον, πατρὸς ἄκρου, κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης". τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προ-

φέρονται "ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει". τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

XXII. Ἀκύλας φιλόσοφος, σχόλια λογικὰ γεγραφὼς περὶ συλλογισμῶν.

XXIII. Ἀκύλας . . . γραμματικὸς καὶ μουσικός . . .

XXIV. Ἀλέξανδρος Αἰγαῖος, φιλόσοφος περιπατητικός, διδάσκαλος Νέρωνος τοῦ βασιλέως ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ. υἱὸν δὲ ἔσχε Καίλιον ὄνομα. [οὗτος ἐκάλει τὸν Νέρωνα πηλὸν αἵματι πεφυρμένον. κακῶν μαθητῶν, ὡς οἶμαι, κακίονες οἱ διδάσκαλοι· διδακτὴ γὰρ ἀρετή, καὶ κακία ἀσκητή.] ἔστι δὲ καὶ ἕτερος Ἀλέξανδρος Ἀφροδισιεὺς φιλόσοφος, καὶ ἄλλος ὁ Νουμηνίου σοφιστής, καὶ ἄλλος Κλαύδιος χρηματίσας σοφιστής, καὶ ἕτερος ὁ Κασίλωνος σοφιστής, ἀδελφὸς Εὐσεβίου τοῦ σοφιστοῦ, μαθητὴς δὲ Ἰουλιανοῦ, καὶ ἄλλος Ἀλέξανδρος Ἀλεξάνδρου δικηγόρου, Κίλιξ Σελευκεύς, σοφιστής, ὃς ἐπεκλήθη Πηλοπλάτων.

XXV. Ἀλέξανδρος Αἰτωλὸς ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν, ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

XXVI. Ἀλέξανδρος ὁ Μύνδιος ἱστορικός . . . διαλαμβάνει περὶ Γοργόνος.

XXVII. Ἀλέξανδρος ὁ Μιλήσιος, ὃς Πολυίστωρ ἐπεκλήθη καὶ Κορνήλιος, διότι Κορνηλίῳ Λεντούλῳ αἰχμαλωτισθεὶς ἐπράθη καὶ αὐτῷ παιδαγωγὸς ἐγένετο, εἶτα ἠλευθερώθη. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ τῶν Σύλλα χρόνων καὶ ἐπίταδε. ἀνῃρέθη δὲ ἐν Λαυρενταῖς, ὑπὸ πυρὸς τῆς οἰκίας φθαρείσης, καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη μαθοῦσα τὸ συμβὰν ἀπήγξατο. ἦν δὲ γραμματικὸς τῶν Κράτητος μαθητῶν. οὗτος συνέγραψε βιβλία ἀριθμοῦ κρείττω, καὶ περὶ Ῥώμης βιβλία πέντε. ἐν τούτοις λέγει ὡς γυνὴ γέγονεν Ἑβραία Μωσώ, ἧς ἐστι σύγγραμμα ὁ παρ' Ἑβραίοις νόμος.

XXVIII. Ἄλεξις Θούριος [ὅστις πρότερον Σύβαρις ἐκαλεῖτο] κωμικός. ἐδίδαξε δράματα σμε', γέγονε δὲ πάτρως Μενάνδρου τοῦ κωμικοῦ, ἔσχε δὲ υἱὸν Στέφανον καὶ αὐτὸν κωμικόν.

XXIX. Ἀλκαῖος Ἀθηναῖος τραγικός, ὃν τινες θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

XXX. Ἀλκαῖος [Μυτιληναῖος, εἶτα] Ἀθηναῖος, κωμικός

τῆς ἀρχαίας κωμῳδίας [πέμπτος], υἱὸς δὲ Μίκκου. ἔγραψε δράματα δέκα.

XXXI. Ἀλκιβιάδης υἱὸς Κλεινίου καὶ τῆς ἀδελφῆς Περικλέους, Ἀθηναῖος, φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς πρῶτον Σοφίλου, εἶτα Σωκράτους, οὗ καὶ ⟨ἦν⟩ ἐρώμενος, ὥς τινες. καὶ ἐκ δούλων δὲ τεχθέντα τινὲς ἱστορήκασιν. οὗτος ἐστρατήγησεν Ἀθηναίων· καὶ λυπηθεὶς διὰ τὸ ἐκπεσεῖν αὐτὸν τῆς στρατηγίας τῆς τῶν Ἑρμῶν ἀποκοπῆς ἕνεκα, καὶ ἀποστὰς πρὸς Τισσαφέρνην τὸν Πέρσην καὶ πολέμου αἴτιος γενόμενος Ἀθηναίοις, πάλιν αὐτοῖς εὔνους ἐγένετο. μέλλοντος δὲ Λυσάνδρου αὐτὸν ἀναιρεῖν, παρ' ᾧ διέτριβεν εἰς κώμην τῆς Φρυγίας ἑταίρᾳ συνών, ὄναρ ἦν τεθεαμένος τοιόνδε· ἐδόκει τὴν ἐσθῆτα τῆς ἑταίρας ἔχων καίεσθαι δίχα τῆς κεφαλῆς. οἱ δορυφόροι δὲ ἐπιστάντες ὑφῆψαν τὴν σκηνήν, ὁ δὲ ἐξελθὼν βίᾳ τιτρώσκεται διωχθείς. οἱ δὲ τὴν κεφαλὴν ἀφελόντες αὐτοῦ Φαρναβάζῳ κομίζουσιν.

XXXII. Ἀλκιδάμας Ἐλαΐτης ἀπὸ Ἐλαίας τῆς Ἀσίας, φιλόσοφος, Διοκλέους υἱός, μουσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

XXXIII. Ἀλκιμένης Μεγαρεὺς τραγικός.

ἔστι δὲ καὶ ἕτερος Ἀλκιμένης Ἀθηναῖος κωμικός.

XXXIV. Ἀλκίφρων Μάγνης τῆς παρὰ Μαιάνδρῳ Μαγνησίας, φιλόσοφος.

XXXV. Ἀλκμάν Λάκων ἀπὸ Μεσσόας, κατὰ δὲ τὸν Κράτητα πταίοντα Λυδὸς ἐκ Σάρδεων, λυρικός, υἱὸς Δάμαντος ἢ Τιτάρου. ἦν δὲ ἐπὶ τῆς κζ' ὀλυμπιάδος, βασιλεύοντος Λυδῶν Ἄρδυος τοῦ Ἀλυάττου πατρός, καὶ ὢν ἐρωτικὸς πάνυ εὑρετὴς γέγονε τῶν ἐρωτικῶν μελῶν. ἀπὸ οἰκετῶν δέ. ἔγραψε βιβλία ς' μέλη [καὶ Κολυμβώσας.] πρῶτος δὲ εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. κέχρηται δὲ Δωρίδι διαλέκτῳ καθάπερ Λακεδαιμόνιοι. ἔστι δὲ καὶ ἕτερος Ἀλκμάν, εἷς τῶν λυρικῶν, ὃν ἤνεγκεν ἡ Μεσσήνη.

XXXVI. Ἀμειψίας Ἀθηναῖος κωμικός . . .

XXXVII. Ἀμέλιος Ἀπαμεὺς φιλόσοφος, μαθητὴς Πλωτίνου, διδάσκαλος Πορφυρίου, συγχρονίσας Ἀμμωνίῳ καὶ Ὠριγένει.

XXXVIII. Ἀμμώνιος φιλόσοφος Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Σακκᾶς. οὗτος ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

XXXIX. Ἀμμώνιος Ἀμμωνίου Ἀλεξανδρεύς, Ἀλεξάνδρου

γνώριμος, ὃς καὶ διεδέξατο τὴν σχολὴν Ἀριστάρχου πρὸ τοῦ μοναρχῆσαι τὸν Αὔγουστον.

XL. Ἄμφις κωμικὸς Ἀθηναῖος . . .

XLI. Ἀμφίων. οὗτος παλαιᾶς μουσικῆς εὑρετής.

XLIIa. Ἀνακρέων Τήιος, λυρικός, Σκυθίνου υἱός, οἱ δὲ Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. ἔγραψεν ἐλεγεῖα καὶ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ. γέγονε κατὰ Πολυκράτην τὸν Σάμου τύραννον, ὀλυμπιάδι νβ'· οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν αὐτὸν κατὰ τὴν νε' ὀλυπιάδα. ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἱστιαίου ἐπανάστασιν ᾤκησεν Ἄβδηρα ἐν Θρᾴκῃ. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν καὶ ᾠδάς. καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους καὶ τὰ καλούμενα Ἀνακρεόντεια.

XLIIb. Ἀναξαγόρας σοφιστής, Ἡγησιβούλου υἱός, Κλαζομένιος. νοῦς δὲ ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρὸν εἶπεν. οὗτός ἐστιν ὁ τὸν ἥλιον εἰπὼν μύδρον διάπυρον, τουτέστι πύρινον λίθον. ἔφυγε δέ ἐξ Ἀθηνῶν Περικλέους αὐτῷ συνειπόντος, καὶ ἐλθὼν ἐν Λαμψάκῳ ἐκεῖσε καταστρέφει τὸν βίον ἀποκαρτερήσας. ἐξήγαγε δὲ τοῦ ζῆν ἑαυτὸν ἐτῶν ο', διότι ὑπ' Ἀθηναίων ἐνεβλήθη ἐν δεσμωτηρίῳ οἷά τινα καινὴν δόξαν τοῦ θεοῦ παρεισφέρων.

XLIII. Ἀναξανδρίδης Ἀναξάνδρου, Ῥόδιος ἐκ Καμείρου, κατὰ δέ τινας Κολοφώνιος, γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος, ὀλυμπιάδι ρα'. ἔγραψε δὲ δράματα ξε', ἐνίκησε δὲ ι'. καὶ πρῶτος οὗτος ἔρωτας καὶ παρθένων φθορὰς εἰσήγαγεν.

XLIV. Ἀναξίλας κωμικὸς ποιητής . . .

XLV. Ἀναξίμανδρος Ἀναξιμάνδρου Μιλήσιος, ὁ νεώτερος, ἱστορικός. γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος. ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν, οἷόν ἐστιν τὸ ‚ζυγὸν μὴ ὑπερβαίνειν', ‚μαχαίρᾳ πῦρ μὴ σκαλεύειν', ‚ἀπὸ ὁλοκλήρου ἄρτου μὴ ἐσθίειν', καὶ τὰ λοιπά.

XLVI. Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος φιλόσοφος συγγενὴς καὶ μαθητὴς καὶ διάδοχος Θάλητος. [πρῶτος δὲ ἰσημερίαν εὗρε καὶ τροπὰς καὶ ὡρολογεῖα, καὶ τὴν γῆν ἐν μεσαιτάτῳ κεῖσθαι. γνώμονά τε εἰσήγαγε, καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν]. ἔγραψε περὶ φύσεως, γῆς περίοδον καὶ περὶ τῶν ἀπλανῶν καὶ σφαῖραν καὶ ἄλλα τινά.

XLVII. Ἀναξιμένης Ἀριστοκλέους Λαμψακηνὸς ῥήτωρ,

μαθητὴς Διογένους τοῦ Κυνὸς καὶ Ζωίλου τοῦ Ἀμφιπολίτου γραμματικοῦ τοῦ χακίζοντος Ὅμηρον, διδάσκαλος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. εἵπετο δὲ αὐτῷ ἐν τοῖς πολέμοις.

XLVIII. Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου, οἱ δὲ καὶ Παρμενίδου ἔφασαν. γέγονεν ἐν τῇ νε΄ ὀλυμπιάδι, ἐν τῇ Σάρδεων ἁλώσει, ὅτε Κῦρος ὁ Πέρσης Κροῖσον καθεῖλεν.

XLIX. Ἀνάξιππος κωμικὸς τῆς νέας κωμῳδίας . . ἤκμασεν ἐπὶ Ἀντιγόνου καὶ Δημητρίου τοῦ Πολιορκητοῦ.

L. Ἀνάχαρσις Γνούρου, μητρὸς δὲ Ἑλληνίδος, Σκύθης φιλόσοφος, ἀδελφὸς Καδουία τοῦ Σκυθῶν βασιλέως. ἔγραψε νόμιμα Σκυθικὰ δι' ἐπῶν, περὶ εὐτελείας τῶν εἰς τὸν ἀνθρώπινον βίον, ἔπη πάντα ὀκτακόσια. εὗρε δὲ οὗτος ἄγκυραν καὶ τὸν κεραμικὸν τροχόν. ἦν δὲ ἐπὶ Κροίσου, καὶ τετελεύτηκεν Ἑλληνικὰς τελετὰς ἐπιτελῶν ἐν Σκύθαις, ἐπιβουλεύσαντος αὐτῷ τοῦ ἀδελφοῦ, κατὰ δέ τινας, ἐν γήρᾳ βαθεῖ καὶ μέχρις ἐτῶν ἑκατόν.

LI. Ἀνδοκίδης Ἀθηναῖος, ῥήτωρ τῶν πρωτευόντων δέκα εἷς, υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

LII. Ἀνδροκλείδης ὁ τοῦ Συνεσίου τοῦ Λυδοῦ τοῦ Φιλαδελφέως υἱός. οὗτος δὲ ἐπὶ Πορφυρίου τοῦ φιλοσόφου ἐδίδασκεν, ἐπειδὴ μέμνηται αὐτοῦ ἐν τῷ περὶ τῶν ἐμποδὼν τεχνολόγων.

LIII. Ἀνδρόμαχος Νεαπολίτης ἐκ Συρίας σοφιστής, υἱὸς Ζωνᾶ ἢ Σαβίνου, παιδεύσας κατὰ Νικομήδειαν ἐπὶ Διοκλητιανοῦ βασιλέως.

LIV[a]. Ἀνδροτίων Ἄνδρωνος Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, μαθητὴς Ἰσοκράτους.

LIV[b]. Ἀννίκερις Κυρηναῖος φιλόσοφος, ὃς Ἐπικούρειος ἐγένετο, καίτοι ὢν Παραβάτου γνώριμος τοῦ Ἀριστίππου ἀκηκοότος. ἦν δὲ τῷ Ἀννικέριδι καὶ ἀδελφὸς Νικοτέλης ὄνομα, φιλόσοφος, μαθητὴς δὲ αὐτοῦ ἐπιφανὴς Ποσειδώνιος. ἐκ τούτου αἵρεσις ἡ καλουμένη Ἀννικέρειος. ἦν δὲ ἐπὶ Ἀλεξάνδρου. ?

LV. Ἀντέρως ὁ καὶ Ἀπολλώνιος, Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Κλαυδίου τοῦ μετὰ Γάϊον βασιλεύ-

σαντος, ἐφ' οὗπερ καὶ Ἡρακλείδης ὁ Ποντικὸς γέγονεν, ἀκουστὴς δὲ ἦν Ἀπίωνος τοῦ Μόχθου. φέρονται αὐτοῦ βιβλία περὶ γραμματικῆς δύο.

LVI. Ἀντιγενίδης Σατύρου Θηβαῖος μουσικός, αὐλῳδὸς Φιλοξένου. οὗτος ὑποδήμασι Μιλησίοις πρῶτος ἐχρήσατο, καὶ κροκωτὸν ἐν τῷ Κωμαστῇ περιεβάλλετο ἱμάτιον. ἔγραψε μέλη.

LVII. Ἀντικλείδης . . . οὗτος ἔγραψε περὶ Νόστων.

LVIII. Ἀντίμαχος Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι· ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.

LIX. Ἀντίμαχος ἕτερος, Ἡλιοπολίτης ἀπ' Αἰγύπτου, ὃς ἔγραψε κοσμοποιίαν ἐν ἔπεσιν ἡρωικοῖς γψ'.

LX. Ἀντίπατρος Ἰολάου, πόλεως δὲ Παλιούρας τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, εἶτα Ἀλεξάνδρου, καὶ διάδοχος βασιλείας, μαθητὴς Ἀριστοτέλους. κατέλιπεν ἐπιστολῶν σύγγραμμα ἐν βιβλίοις δυσὶ καὶ ἱστορίαν, τὰς Περδίκκου πράξεις Ἰλλυρικάς. καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου τὸν Ἡρακλέα κληθέντα μόνος δὲ τῶν διαδόχων θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας. ἐβίω δὲ ἔτη οθ', καὶ κατέλιπεν υἱὸν καὶ διάδοχον Κάσανδρον τὸν τὴν μητέρα Ἀλεξάνδρου ἀνελόντα Ὀλυμπιάδα.

LXI. Ἀντισθένης Ἀθηναῖος, ἀπὸ ῥητόρων φιλόσοφος Σωκρατικός, ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν, υἱὸς δὲ ὢν ὁμωνύμου πατρός, μητρὸς δὲ τὸ γένος Θρᾴσσης. οὗτος συνέγραψε τόμους δέκα, πρῶτον μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου εὑρόντος τὴν σοφίαν. τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι ἀνατιθέασιν. οὗτος οὖν καὶ τῆς κυνικῆς κατήρξατο φιλοσοφίας, ἥτις οὕτως ἐκλήθη διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ διδάξαι αὐτόν, καὶ Διογένους δὲ καθηγητὴς γέγονε τοῦ Κυνὸς καὶ τῶν λοιπῶν.

LXII. Ἀντιφάνης Ἀθηναῖος κωμικός, νεώτερος τοῦ Παναιτίου. ⟨ἔγραψε κωμῳδίας λ', οἱ δὲ πεντήκοντα.⟩

ἔστι δὲ καὶ ἕτερος Ἀντιφάνης, Καρύστιος κωμικός, κατὰ Θέογνιν γεγονὼς τοῖς χρόνοις.

LXIII. Ἀντιφάνης Δημοφάνους, οἱ δὲ Στεφάνου καὶ μη-

τρὸς Οἰνόης, Κιανός, ὡς δέ τινες Σμυρναῖος, κατὰ δὲ Διονύσιον Ῥόδιος, κωμικὸς τῆς μέσης κωμῳδίας, ἀπὸ δούλων, ὥς τινες. γέγονε δὲ κατὰ τὴν ϟγ' ὀλυμπιάδα, καὶ ἔγραψε κωμῳδίας τξε', οἱ δὲ σπ', νίκας δὲ εἷλε ιγ'. παῖδά τε ἔσχε Στέφανον καὶ αὐτὸν κωμικόν. τελευτᾷ δὲ ἐν Κίῳ οδ' ἐτῶν ὑπάρχων, κατά τινα τύχην ἀπίῳ βληθείς.

LXIV. Ἀντιφῶν Ἀθηναῖος, τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιστής, ἐκαλεῖτο δὲ Λογομάγειρος.

LXV. Ἀντιφῶν Ἀθηναῖος ὀνειροκρίτης. περὶ κρίσεως ὀνείρων [ἔγραψεν].

LXVI. Ἀντιφῶν Σοφίλου Ἀθηναῖος, τῶν δήμων Ῥαμνούσιος. διδάσκαλος δὲ αὐτοῦ οὐδεὶς προγινώσκεται, ἀλλ' ὅμως ἦρξε τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν, λέγεται δὲ καὶ Θουκυδίδου γενέσθαι διδάσκαλος. ἐκαλεῖτο δὲ Νέστωρ.

LXVII. Ἄντυλλος ῥήτωρ . . .

LXVIII[a]. Ἄνυτος Ἀνθεμίωνος, Ἀθηναῖος ῥήτωρ.

LXVIII[b]. Ἀπελλῆς Κολοφώνιος, θέσει δὲ Ἐφέσιος, ζωγράφος, μαθητὴς Παμφίλου τοῦ Ἀμφιπολίτου, πρότερον δὲ Ἐφόρου τοῦ Ἐφεσίου, υἱὸς Πυθέου, ἀδελφὸς Κτησιόχου καὶ αὐτοῦ ζωγράφου.

LXIX. Ἀπίων ὁ Πλειστονίκου, ὁ ἐπικληθεὶς Μόχθος, Αἰγύπτιος, κατὰ δὲ Ἑλικώνιον Κρής, γραμματικός, μαθητὴς Ἀπολλωνίου τοῦ Ἀρχιβίου. ἠκηκόει δὲ καὶ Εὐφράνορος γηραιοῦ καὶ ὑπὲρ ἑκατὸν ἔτη γεγονότος, Διδύμου δὲ τοῦ μεγάλου θρεπτός. ἐπαίδευσε δὲ ἐπὶ Τιβερίου Καίσαρος καὶ Κλαυδίου ἐν Ῥώμῃ. ἦν δὲ διάδοχος Θέωνος τοῦ γραμματικοῦ καὶ σύγχρονος Διονυσίου τοῦ Ἁλικαρνασσέως. ἔγραψεν ἱστορίαν κατ' ἔθνος καὶ ἄλλα τινά.

LXX. Ἀπολινάριος Λαοδικεὺς τῆς Συρίας, γεγονὼς ἐν ἡμέραις Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ παραβάτου καὶ ἕως τῆς ἀρχῆς Θεοδοσίου τοῦ μεγάλου, σύγχρονος Βασιλείου καὶ Γρηγορίου τῶν ἐκ Καππαδοκίας θαυμαζομένων. ἐγένετο δὲ γνώριμος ἀμφοτέρων καὶ Λιβανίου τοῦ σοφιστοῦ καὶ ἄλλων τινῶν. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλείω καὶ ἐς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος.

οὗτος ἔγραψε καταλογάδην κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς τόρους λ΄, καὶ δι' ἡρῴων ἐπῶν πᾶσαν τὴν τῶν Ἑβραίων γραφήν. ἔγραψε δὲ καὶ ἐπιστολὰς καὶ ἄλλα πολλὰ εἰς τὴν γραφὴν ὑπομνήματα.

LXXI. Ἀπολλόδωρος Ἀθηναῖος κωμικός. ἐποίησε δράματα μζ΄, ἐνίκησεν ε΄.

LXXII. Ἀπολλόδωρος Ἀσκληπιάδου γραμματικός, εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, Ἀθηναῖος τὸ γένος. ἦρξε δὲ πρῶτος τῶν καλουμένων τραγιάμβων.

LXXIII. Ἀπολλόδωρος Γελῷος κωμικός, σύγχρονος τοῦ κωμικοῦ Μενάνδρου. δράματα αὐτοῦ Ἀποκαρτερῶν ἢ Φιλάδελφοι, Δευσοποιός, |Ἱέρεια, Γραμματειδιοποιός|, Ψευδαίας, Σίσυφος, Αἰσχρίων.

LXXIV. Ἀπολλόδωρος Ταρσεὺς τραγικός. δράματα αὐτοῦ Ἀκανθοπλήξ, Τεχνοκτόνος, Ἕλληνες, Θυέστης, Ἱκέτιδες, Ὀδυσσεύς.

LXXV. Ἀπολλοφάνης Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. δράματα αὐτοῦ Δαλίς, Ἰφιγέρων, Κρῆτες, Δανάη, Κένταυροι.

LXXVI. Ἀπολλώνιος Ἀλεξανδρεύς, ἐπῶν ποιητής, διατρίψας ἐν Ῥόδῳ, υἱὸς Σιλλέως, μαθητὴς Καλλιμάχου, σύγχρονος Ἐρατοσθένους καὶ Εὐφορίωνος καὶ Τιμάρχου, ἐπὶ Πτολεμαίου τοῦ Εὐργέτου ἐπικληθέντος, καὶ διάδοχος Ἐρατοσθένους γενόμενος ἐν τῇ προστασίᾳ τῆς ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκης.

LXXVII. Ἀπολλώνιος Ἀλεξανδρεύς, ὁ κληθεὶς Δύσκολος, πατὴρ Ἡρωδιανοῦ τοῦ τεχνογράφου γραμματικοῦ, ὃς ἔγραψε τάδε· περὶ μερισμοῦ τῶν τοῦ λόγου μερῶν βιβλία δ΄, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν δ΄, περὶ ῥήματος ἤτοι ῥηματικὸν ἐν βιβλίοις ε΄, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων παραγώγων βιβλίον α΄, περὶ ὀνομάτων ἤτοι ὀνοματικὸν α΄, περὶ ὀνομάτων κατὰ διάλεκτον, περὶ τῆς ἐν θηλυκοῖς ὀνόμασιν εὐθείας α΄, περὶ παρωνύμων α΄, περὶ συγκριτικῶν, περὶ διαλέκτων Δωρίδος, Ἰάδος, Αἰολίδος, Ἀτθίδος, περὶ σχημάτων Ὁμηρικῶν, περὶ κατεψευσμένης ἱστορίας, περὶ παθῶν, περὶ τόνων κατηναγκασμένων βιβλία β΄, περὶ τόνων σκολιῶν βιβλίον α΄, περὶ προσῳδιῶν ε΄, περὶ

στοιχείων, περὶ προθέσεων, περὶ τῶν Διδύμου πιθανῶν, περὶ συνθέσεως, περὶ διφορουμένων, περὶ τοῦ τίς, περὶ γενῶν, περὶ πνευμάτων, περὶ κτητικῶν, περὶ συζυγίας.

LXXVIII. Ἀπολλώνιος Ἀρχεβούλου ἢ Ἀρχιβίου. ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.

LXXIX. Ἀπολλώνιος Ἀφροδισιεὺς ἀρχιερεὺς καὶ ἱστορικός. γέγραφε Καρικά, περὶ Τράλλεων, περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ.

LXXX. Ἀπολλώνιος Τυανεὺς φιλόσοφος, υἱὸς Ἀπολλωνίου καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο, λέγοντα ὡς αὐτὸς εἴη ὃν κύει, εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον, ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν, ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη. εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. συνέταξε δὲ τοσαῦτα· τελετὰς ἢ περὶ θυσιῶν, διαθήκην, χρησμούς, ἐπιστολάς, Πυθαγόρου βίον.

LXXXI. Ἀπολλώνιος ἕτερος Τυανεύς, φιλόσοφος νεώτερος, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ὡς Ἀγρέσφων ἐν τῷ περὶ ὁμωνύμων.

LXXXII. Ἀππιανός (οἱ δὲ διὰ τοῦ ἑνὸς π γράφουσιν Ἀπιανός) [ὄνομα κύριον. οὗτος ὁ Ἀππιανὸς ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν, τὴν καλουμένην βασιλικήν. καὶ αἱ μὲν τρεῖς βίβλοι Ἀππιανοῦ αἱ πρῶται περιλαμβάνουσιν ὅσα Ῥωμαίοις ἀγωνιζομένοις ἐς Ἰταλιώτας ἔτι περὶ ἀρχῆς καὶ ἡγεμονίας ἐπράχθη· ὅσα δ' ἀμφὶ τὴν Ἰταλίαν ἄλλα Κελτοί τε καὶ Λίβυες ἔδρασάν τε καὶ ἔπαθον, καὶ εἴ τί που καὶ τῆς Ἰταλίας μέρος ἀνάγκαις ἢ ἐνέδραις ἢ πλάναις ἐς αὐτοὺς μετέθετο, ἐν τοῖς περὶ Κελτῶν καὶ Λιβύων. συγγέγραπται δ' ἐφ' ἑαυτῶν ὅσα καὶ ἐς τὰς ἐμφυλίους Ῥωμαίων στάσεις ἡ Ἰταλία διῃρεῖτο. ἔτι τοὺς πρὸς Κελτούς, τουτέστι Γερμανούς, οἱ ἀμφὶ τὸν Ῥῆνον ποταμόν εἰσιν, καὶ τοὺς Γαλάτας, τουτέστι Γάλλους, πολέμους καὶ τὰς αἰτίας αὐτῶν, ὅσα τε συνθῆκαι καὶ συνθηκῶν παραβάσεις ἢ ἐπαναστά-

σεις ἐγένοντο Κελτῶν ἕως ἐπὶ τοῦ Γαΐου, ἡ τετάρτη βίβλος περιέχει συλλαβοῦσα. εἰ δέ τί που Κελτοὶ μὴ κατὰ πρόφασιν οἰκείαν ἀλλὰ συμμαχοῦντες Ἰταλῶν τισιν ἢ μισθοφοροῦντες ἔπραξαν, ἐν τοῖς περὶ ἐκείνων συγγέγραπται· καὶ ὅσον εἰς γνώρισμα μόνον αὐτῶν μέμνηται Ἀππιανός]. ἔγραψε δὲ Ῥωμαϊκὰ λόγους θ'.

LXXXIII. *Ἀραρὼς* Ἀθηναῖος, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ, καὶ αὐτὸς κωμικός, διδάξας τὸ πρῶτον ὀλυμπιάδι ρα'. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Καινεύς, Καμπυλίων, Πανὸς γοναί, Ὑμέναιος, Ἄδωνις, Παρθενίδιον.

LXXXIV. *Ἄρατος* Σολεὺς τῆς Κιλικίας (ἔστι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι), υἱὸς Ἀθηνοδώρου, ἀδελφοὶ δὲ αὐτοῦ Μύρις, Καλώνδας, Ἀθηνόδωρος. ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδ' ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς, καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ, ἐποποιός. συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος Ὁμηρικός, ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, παίγνια, ἀστρολογίαν καὶ ἀστροθεσίαν, σύνθεσιν φαρμάκων, θηριακῶν ἐπιτήδεια, ἀνθρωπογονίαν, ἐπιθυτικόν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, ἠθοποιίας, ἐπιστολάς, ἐπιγράμματα εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, ἀνατομήν, εἰς Παυσανίαν τὸν Μακεδόνα, ἐπικήδειον Κλεομβρότου, διόρθωσιν Ὀδυσσείας, ἐπιστολὰς ὁμοίως καταλογάδην.

LXXXV[a]. *Ἀριγνώτη* μαθήτρια Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία, φιλόσοφος Πυθαγορική. συνέταξε τάδε· Βακχικά (ἔστι δὲ περὶ τῶν Δήμητρος μυστηρίων, ἐπιγράφεται δὲ καὶ ἱερὸς λόγος). ἔγραψε δὲ καὶ τελετὰς Διονύσου καὶ ἄλλα φιλόσοφα.

LXXXV[b]. *Ἀρίστανδρος* ὁ μάντις, Σεύθου υἱός, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἔγραψε περὶ μαντικῆς βιβλία δέκα.

LXXXVI. *Ἀρίσταρχος* Ἀλεξανδρεὺς θέσει, τῇ δὲ φύσει Σαμοθρᾴξ, πατρὸς Ἀριστάρχου. γέγονε δὲ κατὰ τὴν ρνς' ὀλυμ-

πιάδα, ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος, οὗ καὶ τὸν υἱὸν ἐπαίδευσεν. λέγεται δὲ γράψαι ὑπὲρ ω' βιβλία ὑπομνημάτων μόνων. μαθητὴς δὲ γέγονεν Ἀριστοφάνους τοῦ γραμματικοῦ, καὶ Κράτητι τῷ γραμματικῷ Περγαμηνῷ πλεῖστα διημιλλήσατο [ἐν Περγάμῳ]. μαθηταὶ δὲ αὐτοῦ γραμματικοὶ περὶ τοὺς μ' ἐγένοντο· τελευτᾷ δὲ ἐν Κύπρῳ, ἑαυτὸν ὑπεξαγαγὼν ἐνδείᾳ τροφῆς, νόσῳ τῇ ὕδρωπι ληφθείς. ἔτη δὲ αὐτοῦ τῆς ζωῆς οβ'. καὶ παῖδας μὲν κατέλιπεν Ἀρίσταρχον καὶ Ἀρισταγόραν, ἄμφω δὲ ἐγένοντο εὐήθεις, ὥστε καὶ ἐπράθη ὁ Ἀρίσταρχος, Ἀθηναῖοι δὲ ἐλθόντα παρ' αὐτοῖς ἐξωνήσαντο.

LXXXVII. Ἀρίσταρχος Τεγεάτης [ὁ τῶν τραγῳδιῶν ποιητὴς νοσεῖ τινα νόσον, καὶ ἰᾶται αὐτὸν ὁ Ἀσκληπιός, καὶ προστάσσει χαριστήρια τῆς ὑγείας. ὁ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν, οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν, εἴγε τὰ μέγιστα ἡμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἡλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος; καὶ χρῆσιν ὕδατος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες]. οὗτος δὲ ὁ Ἀρίσταρχος σύγχρονος ἦν Εὐριπίδῃ. ὃς πρῶτος εἰς τὸ νῦν αὐτῶν μῆκος τὰ δράματα κατέστησε. καὶ ἐδίδαξε μὲν τραγῳδίας ο', ἐνίκησε δὲ β', βιοὺς ὑπὲρ ἔτη ρ'.

LXXXVIII. Ἀριστέας Δημοχάριδος ἢ Καϋστροβίου, Προκοννήσιος ἐποποιός. τὰ Ἀριμάσπεια καλούμενα ἔπη (ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν) βιβλία γ' [τούτου φασὶ τὴν ψυχήν, ὅταν ἐβούλετο, ἐξιέναι καὶ ἐπανιέναι πάλιν]. γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, ὀλυμπιάδι νη'. ἔγραψε δὲ οὗτος καὶ καταλογάδην, θεογονίαν εἰς ἔπη ͵α'.

LXXXIX. Ἀριστείδης Ἀδριανεὺς σοφιστής (Ἀδριανοὶ δὲ πόλις Μυσίας τῆς νῦν Βιθυνίας), Πολέμωνος τοῦ Σμυρναίου ῥήτορος μαθητής, υἱὸς Εὐδαίμονος φιλοσόφου τε καὶ ἱερέως γενομένου τοῦ ἐν τῇ πατρίδι αὐτοῦ ἱεροῦ τοῦ Διός. οἱ δὲ Εὐδαί-

μονα τὸν πατέρα αὐτοῦ γράφουσιν. ἠκροάσατο δὲ Ἡρώδου κατὰ τὰς Ἀθήνας καὶ ἐν Περγάμῳ Ἀριστοκλέους, γεγονὼς ἐπί τε Ἀντωνίνου τοῦ Καίσαρος καὶ διατείνας μέχρι Κομόδου. τῶν δὲ λόγων αὐτοῦ παρ' οὐδενὶ πέρας εὕροι τις ἄν, ἄλλως δὲ ἄλλοις ἐπιτευχθέντας.

XC. Ἀρίστιππος Ἀριτάδου ἀπὸ Κυρήνης, φιλόσοφος, Σωκράτους ἀκουστής ἀφ' οὗπερ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἤρξατο. πρῶτος δὲ τῶν Σωκρατικῶν μισθοὺς ἐπράξατο. Ξενοφῶντι δὲ εἶχε δυσμενῶς. καὶ ἦν ἱκανὸς ἁρμόσασθαι καὶ χρόνῳ καὶ τόπῳ, καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων, ὅθεν Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα καὶ ἄριστα. διήκουσε δὲ αὐτοῦ ἡ θυγάτηρ Ἀρήτη, ἀφ' ἧς ὁ παῖς αὐτῆς ὁ νέος Ἀρίστιππος, ὃς ἐκλήθη μητροδίδακτος. οὗ Θεόδωρος ὁ ἄθεος ἐπικληθείς, εἶτα θεός, τοῦ δὲ Ἀντίπατρος, τοῦ δὲ Ἐπιτιμίδης ὁ Κυρηναῖος, τοῦ δὲ Παραιβάτης, τοῦ δὲ Ἡγησίας ὁ πεισιθάνατος, τοῦ δὲ Ἀννίκερις ὁ Πλάτωνα λυτρωσάμενος.

XCI. Ἀριστογείτων Κυδιμάχου ἢ Λυσιμάχου, Ἀθηναῖος ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς, ὅστις ἐπεκαλεῖτο Κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ. ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν, πρὸς Λυκοῦργον, κατὰ Τιμοθέου, κατὰ Τιμάρχου, κατὰ Ὑπερίδου, κατὰ Θρασύλλου, ὀρφανικόν.

XCII. Ἀριστογένης Θάσιος ἰατρός. ἔγραψε βιβλία κδ'. ἐκρίθη δὲ περὶ διαίτης α', περὶ δυνάμεως α', περὶ δακέτων α', περὶ σπέρματος α', ὑγιεινὸν α', ἐπιστολικά, ἐπιτομὴν φυσικῶν βοηθημάτων πρὸς Ἀντίγονον.

XCIII. Ἀριστογένης Κνίδιος ἰατρός, δοῦλος Χρυσίππου τοῦ φιλοσόφου, ἰάτρευσεν Ἀντιγόνῳ τῷ ἐπικληθέντι Γονατᾷ.

XCIV. Ἀριστόδημος. ἐπιτομὴν τῆς καθόλου Ἡρωδιανοῦ [ἔγραψε] πρὸς Δαναόν.

XCV. Ἀριστοκλῆς Λαμψακηνός, φιλόσοφος Στωικός. ἔγραψεν ἐξήγησιν τῶν Χρυσίππου περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα, βιβλία δ'.

XCVI. Ἀριστοκλῆς Μεσσήνιος τῆς Ἰταλίας, φιλόσοφος Περιπατητικός. συνέταξε περὶ φιλοσοφίας βιβλία ι', πότερον σπουδαιότερος Ὅμηρος ἢ Πλάτων [καταλέγει δὲ ἐν τούτοις πάντας φιλοσόφους καὶ δόξας αὐτῶν]. ἔγραψε δὲ καὶ | τέχνας ῥητορικάς, περὶ Σαράπιδος |, ἠθικὰ βιβλία θ'.

XCVII. Ἀριστοκλῆς Περγαμηνὸς σοφιστής, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ. τέχνην ῥητορικήν, ἐπιστολάς, περὶ ῥητορικῆς βιβλία ε', μελέτας, πρὸς τὸν βασιλέα ἐπὶ τῇ διανεμήσει τοῦ χρυσίου.

XCVIII. Ἀριστομένης Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας, οἳ ἦσαν ἐπὶ τῶν Πελοποννησιακῶν, ὀλυμπιάδι πζ'. ἐπεκλήθη Θυροποιός.

XCIX. Ἀριστόνικος Ἀλεξανδρεὺς γραμματικός. ἔγραψε περὶ τῶν σημείων τῶν ἐν τῇ θεογονίᾳ Ἡσιόδου καὶ τῶν τῆς Ἰλιάδος καὶ Ὀδυσσείας, ἀσυντάκτων ὀνομάτων βιβλία ϛ'.

C. Ἀριστόξενος υἱὸς Μνησίου τοῦ καὶ Σπινθάρου, μουσικοῦ, ἀπὸ Τάραντος τῆς Ἰταλίας. διατρίψας δὲ ἐν Μαντινείᾳ φιλόσοφος γέγονε, καὶ μουσικῇ ἐπιθέμενος οὐκ ἠστόχησεν, ἀκουστὴς τοῦ τε πατρὸς καὶ Λάμπρου τοῦ Ἐρυθραίου, εἶτα Ξενοφίλου τοῦ Πυθαγορείου καὶ τέλος Ἀριστοτέλους, εἰς ὃν ἀποθανόντα ὕβρισε, διότι κατέλιπε τῆς σχολῆς διάδοχον Θεόφραστον, αὐτοῦ δόξαν μεγάλην ἐν τοῖς ἀκροαταῖς τοῖς Ἀριστοτέλους ἔχοντος. γέγονε δὲ ἐπὶ τῶν Ἀλεξάνδρου καὶ τῶν μετέπειτα χρόνων, ὡς εἶναι ἀπὸ τῆς ρια' ὀλυμπιάδος σύγχρονος Δικαιάρχῳ τῷ Μεσσηνίῳ. συνετάξατο δὲ μουσικά τε καὶ φιλόσοφα καὶ ἱστορίας καὶ παντὸς εἴδους παιδείας, καὶ ἀριθμοῦνται αὐτοῦ τὰ βιβλία εἰς υνγ'.

CI. Ἀριστοτέλης υἱὸς Νικομάχου καὶ Φαιστίδος (ὁ δὲ Νικόμαχος ἰατρὸς ἦν τοῦ τῶν Ἀσκληπιαδῶν γένους, ἀπὸ Νικομάχου τοῦ Μαχάονος) ἐκ Σταγείρων πόλεως τῆς Θρᾴκης, φιλόσοφος, μαθητὴς Πλάτωνος, τραυλὸς τὴν φωνήν. καὶ ἀδελφοὺς μὲν ἔσχεν Ἀρίμνηστον καὶ Ἀριμνήστην, θυγατέρα δὲ ἀπὸ Πυθιάδος τῆς θυγατρὸς Ἑρμείου τοῦ εὐνούχου, ὃς καὶ θλαδίας ὢν αὐτὴν ἔσπειρε. γημαμένη δὲ τρισὶν ἡ Ἀριστοτέλους θυγάτηρ, τεκνώσασα προετελεύτησεν Ἀριστοτέλους τοῦ πατρός. ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρ-

πυλλίδος παλλακῆς, ἣν [ἠγάγετο] μετὰ Πυθιάδα παρ' Ἑρμείου τοῦ εὐνούχου (ὅστις ἦν ἄρχων Ἀταρνέως· χώρα δὲ αὕτη Τρωάδος, Εὐβούλου δὲ τοῦ Βιθυνοῦ δοῦλος γεγονὼς) ἔλαβε, καὶ αὐτοῦ Ἑρμείου παιδικὰ γενομένου Ἀριστοτέλους. ἦρξε δὲ ἔτη ιγ' τῆς περιπατητικῆς κληθείσης φιλοσοφίας διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ διδάξαι ἀναχωρήσαντα τῆς Ἀκαδημείας, ἐν ᾗ Πλάτων ἐδίδαξεν, ἐγεννήθη δὲ ἐν τῇ ϙθ' ὀλυμπιάδι, καὶ ἀπέθανεν ἀκόνιτον πιὼν ἐν Χαλκίδι, διότι ἐκαλεῖτο πρὸς εὐθύνας, ἐπειδὴ ἔγραψε παιᾶνα εἰς Ἑρμείαν τὸν εὐνοῦχον. οἱ δέ φασι νόσῳ αὐτὸν τελευτῆσαι βιώσαντα ἔτη ο'.

CII. Ἀριστοφάνης Ῥόδιος ἤτοι Λίνδιος (οἱ δὲ Αἰγύπτιον ἔφασαν, οἱ δὲ Καμιρέα), θέσει δὲ Ἀθηναῖος (ἐπολιτογραφήθη γὰρ παρ' αὐτοῖς), κωμικός, υἱὸς Φιλίππου, γεγονὼς ἐν τοῖς ἀγῶσι κατὰ τὴν ριδ' ὀλυμπιάδα, εὑρετὴς τοῦ τετραμέτρου καὶ ὀκταμέτρου, παῖδας σχὼν Ἀραρότα, Φίλιππον, Φιλέταιρον κωμικούς. τινὲς δὲ αὐτὸν καὶ ἀπόδουλον ἱστορήκασι. δράματα δὲ αὐτοῦ μδ'. ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα· Ἀχαρνεῖς, Βάτραχοι, Εἰρήνη, Ἐκκλησιάζουσαι, Θεσμοφοριάζουσαι, Ἱππεῖς, Λυσιστράτη, Νεφέλαι, Ὄρνιθες, Πλοῦτος, Σφῆκες.

CIII. Ἀριστοφάνης Βυζάντιος γραμματικός, υἱὸς Ἀπελλοῦ ἡγουμένου στρατιωτῶν, μαθητὴς Καλλιμάχου καὶ Ζηνοδότου (ἀλλὰ τοῦ μὲν νέος, τοῦ δὲ παῖς ἤκουσε), πρὸς δὲ τούτοις καὶ Διονυσίου τοῦ Ἰάμβου καὶ Εὐφρονίδα τοῦ Κορινθίου ἢ Σικυωνίου. γέγονε δὲ κατὰ τὴν ρμδ' ὀλυμπιάδα βασιλεύοντος Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τοῦ μετ' αὐτὸν τοῦ Φιλοπάτορος καὶ προέστη τῆς τοῦ βασιλέως βιβλιοθήκης μετὰ Ἀπολλώνιον, ἔτος ἄγων ξβ'. διασκευασθεὶς δὲ ὡς βουλόμενος πρὸς Εὐμενῆ φυγεῖν, ἐφυλάχθη ἐν εἱρκτῇ χρόνον τινά. ἠφείθη δὲ καὶ ὑπὸ στραγγουρίας τελευτᾷ, ἔτη βεβιωκὼς οζ'. συγγράμματα δὲ αὐτοῦ πάνυ πολλά.

CIV. Ἀριστώνυμος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἥλιος ῥιγῶν, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς . . .

CV. Ἀρίων Μηθυμναῖος λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν λη' ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα, προοίμια εἰς ἔπη ͵β'. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν

στῆσαι καὶ διθύραμβον ᾆσαι καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. φυλάττει δὲ τὸ ω καὶ ἐπὶ γενικῆς.

CVI. Ἀρκάδιος γραμματικὸς Ἀντιοχεύς. ἔγραψε περὶ ὀρθογραφίας, περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν, ὀνοματικὸν θαυμάσιον.

CVII. Ἀρκεσίλαος [ὄνομα κύριον] φιλόσοφος . . .

CVIII. Ἀρκτῖνος Τήλεω τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιός, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ περὶ Ὁμήρου, γεγονὼς κατὰ τὴν θ′ ὀλυμπιάδα, μετὰ τετρακόσια ἔτη τῶν Τρωικῶν.

CIX. Ἁρποκρατίων Ἀργεῖος, Πλατωνικὸς φιλόσοφος, συμβιωτὴς Καίσαρος. ἔγραψεν ὑπόμνημα εἰς Πλάτωνα ἐν βιβλίοις κδ′, λέξεις Πλάτωνος ἐν βιβλίοις β′.

CX. Ἁρποκρατίων ὁ Γάϊος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν Ἀντιφῶντος σχημάτων, περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων καὶ ἕτερα.

CXI. Ἁρποκρατίων ὁ Αἴλιος χρηματίσας, σοφιστής. ἔγραψε περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ ὑποθέσεις τῶν λόγων Ὑπερίδου, περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, περὶ τέχνης ῥητορικῆς, περὶ ἰδεῶν.

CXII. Ἁρποκρατίων ὁ Βαλέριος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς. λέξεις τῶν ι′ ῥητόρων, ἀνθηρῶν συναγωγήν.

CXIII. Ἀρριανὸς ἐποποιός, μετάφρασιν τῶν γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας, Ἀλεξανδριάδα (ἔστι δὲ τὰ κατὰ τὸν Μακεδόνα ἐν ῥαψῳδίαις κδ′), εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

CXIV. Ἀρριανὸς Νικομηδεύς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

CXV. Ἀρτεμίδωρος Δαλδιανός (πόλις δέ ἐστι Λυδίας

ἢ Δάλδις), φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις δ', οἰωνοσκοπικὰ καὶ χειροσκοπικά.

CXVI. Ἀρχέδικος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Θησαυρὸς καὶ Διαμαρτάνων, ὡς Ἀθήναιός φησιν ἐν τοῖς Δειπνοσοφισταῖς.

CXVII. Ἀρχέλαος Ἀπολλοδώρου ἢ Μύδωνος, Μιλήσιος φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς, ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν, Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου· τοῦ δὲ μαθητὴς Σωκράτης, οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. συνέταξε καὶ ἄλλα τινά.

CXVIII. Ἀρχίβιος Ἀπολλωνίου, γραμματικός. τῶν Καλλιμάχου ἐπιγραμμάτων ἐξήγησιν.

CXIX. Ἀρχίβιος Πτολεμαίου Λευκάδιος ἢ Ἀλεξανδρεύς, γραμματικὸς τῶν ἕως Τραϊανοῦ τοῦ Καίσαρος ἐν Ῥώμῃ παιδευσάντων.

CXX. Ἀρχιγένης Φιλίππου, Ἀπαμεὺς Συρίας, ἰατρός, μαθητὴς Ἀγαθίνου, ἐπὶ Τραϊανοῦ ἰατρεύσας ἐν Ῥώμῃ, βιοὺς ἔτη ξγ' καὶ συγγράψας πολλὰ ἰατρικά τε καὶ φυσικά.

CXXI. Ἀρχιμήδης Τραλλιανός, φιλόσοφος. ὑπόμνημα εἰς Ὅμηρον, |καὶ μηχανικά|.

CXXII. Ἄρχιππος Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. ἐνίκησεν ἅπαξ ἐπὶ τῆς ϙα' ὀλυμπιάδος.

CXXIII. Ἀρχύτας Ταραντῖνος, Ἑστιαίου υἱὸς ἢ Μνησάρχου ἢ Μνασαγέτου ἢ Μνασαγόρου, φιλόσοφος Πυθαγορικός. οὗτος Πλάτωνα ἔσωσε μὴ φονευθῆναι ὑπὸ Διονυσίου τοῦ τυράννου. τοῦ κοινοῦ δὲ τῶν Ἰταλιωτῶν προέστη, στρατηγὸς αἱρεθεὶς αὐτοκράτωρ ὑπὸ τῶν πολιτῶν καὶ τῶν περὶ ἐκεῖνον τὸν τόπον Ἑλλήνων. ἅμα δὲ καὶ φιλοσοφίαν ἐκπαιδεύων μαθητάς τ' ἐνδόξους ἔσχε καὶ βιβλία συνέγραψε πολλά. τοῦτον φανερῶς γενέσθαι διδάσκαλον Ἐμπεδοκλέους. καὶ παροιμία 'Ἀρχύτου πλαταγή', ὅτι Ἀρχύτας πλαταγὴν εὗρεν, ἥτις ἐστὶν εἶδος ὀργάνου ἦχον καὶ ψόφον ἀποτελοῦντος.

CXXIV. Ἀσίνιος Πωλίων Ῥωμαῖος. ἱστορίας Ῥωμαϊκὰς

συνέταξεν ἐν βιβλίοις ιζ'. οὗτος πρῶτος ἑλληνικὴν ἱστορίαν ῥωμαϊκῶς συνεγράψατο.

CXXVa. *Ἀσκληπιάδης* Διοτίμου Μυρλεανὸς (πόλις δέ ἐστι Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη), τὸ δὲ ἄνωθεν γένος ἦν Νικαεύς, γραμματικός, μαθητὴς Ἀπολλωνίου. γέγονε δὲ ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμενοῦς τῶν ἐν Περγάμῳ βασιλέων. ἔγραψε φιλοσόφων βιβλίων διορθωτικά.

ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου, καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. ἔγραψε πολλά.

CXXVb *Ἀσπασία.* αὕτη Ἀξιόχου, Μιλησία, γυνὴ Περικλέους, παρὰ Σωκράτει πεφιλοσοφηκυῖα, ὡς Διόδωρος ἐν τῷ περὶ Μιλήτου συγγράμματί φησιν. ἐπεγήματο δὲ μετὰ τὸν Περικλέους θάνατον Λυσικλεῖ τῷ προβατοκαπήλῳ, καὶ ἐξ αὐτοῦ ἔσχεν υἱὸν ὀνόματι Ποριστήν, καὶ τὸν Λυσικλέα ῥήτορα δεινότατον κατεσκευάσατο, καθάπερ καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν, ὡς Αἰσχίνης ὁ Σωκρατικὸς ἐν διαλόγῳ Καλλίᾳ καὶ Πλάτων ὁμοίως Πεδήταις. Κρατῖνος δὲ τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ὀμφάλην Εὔπολις Φίλοις. ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν, ἴσως ὅτι καὶ Περικλῆς Ὀλύμπιος προσηγορεύετο. ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις.

CXXVI. *Ἀσπάσιος* Βύβλιος σοφιστής, συγχρονῶν Ἀριστείδῃ καὶ Ἀδριανῷ. ἔγραψε περὶ Βύβλου, περὶ στάσεων ἐσχηματισμένων, μελέτας, τέχνας, ὑπομνήματα, λαλιάς, ἐγκώμιον εἰς Ἀδριανὸν τὸν βασιλέα καὶ εἰς ἄλλους τινάς.

CXXVII. *Ἀσπάσιος* Δημητριανοῦ τοῦ κριτικοῦ ⟨υἱὸς⟩ καὶ μαθητής, Ῥαβενναῖος σοφιστής, γεγονὼς ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας. πρὸς τοὺς φιλολοιδόρους καὶ πρὸς Ἀρίστωνα, λόγους διαφόρους. ἠκροάσατο δὲ Παυσανίου καὶ Ἱπποδρόμου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, διαπρέψας μέχρι πολλοῦ.

CXXVIII. *Ἀσπάσιος* Τύριος σοφιστής, ἱστορικός. ἔγραψε περὶ Ἠπείρου καὶ τῶν ἐν αὐτῇ ἱστορίαν σύμμικτον ἐν βιβλίοις κ', περὶ τέχνης ῥητορικῆς καὶ ἄλλα.

CXXIX. *Ἀστράμψυχος*, ὃς βιβλίον ἰατρικὸν εἰς ὄνων θεραπείαν πεποίηκε καὶ ὀνειροκριτικόν.

CXXX. *Ἀστυάγης* γραμματικός. τέχνην γραμματικήν, περὶ διαλέκτων, περὶ μέτρων, κανόνας ὀνοματικοὺς καὶ εἰς Καλλίμαχον τὸν ποιητὴν ὑπόμνημα.

CXXXI. *Ἀστυδάμας* ὁ πρεσβύτης, υἱὸς Μορσίμου τοῦ Φιλοκλέους, τραγικῶν ἀμφοτέρων, Ἀθηναῖος τραγικός. ἔγραψε τραγῳδίας σμʹ, ἐνίκησε ιεʹ. ἀκροασάμενος δὲ ἦν Ἰσοκράτους, καὶ ἐτράπη ἐπὶ τραγῳδίαν.

CXXXII. *Ἀστυδάμας* ὁ νέος, υἱὸς τοῦ προτέρου, τραγικὸς καὶ αὐτός. δράματα αὐτοῦ Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης.

CXXXIII. *Αὐγέας* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Ἄγροικος, Πορφύρα, Δὶς κατηγορούμενος. ἔστι δὲ τῆς μέσης κωμῳδίας.

CXXXIV. *Αὔγουστος Καῖσαρ*, ὁ καὶ Σεβαστὸς καὶ Ὀκταβιανὸς ἐπικληθείς. [ἔγραψε] περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων βιβλία ιγʹ καὶ τραγῳδίαν Αἴαντός τε καὶ Ἀχιλλέως.

CXXXV. *Αὐσόνιος* σοφιστής, γεγραφὼς ἐπιστολὰς καὶ ἄλλα τινὰ πρὸς Νόννον.

CXXXVI. *Αὐτοκράτης* Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. τῶν δραμάτων αὐτοῦ Τυμπανισταί. ἔγραψε καὶ τραγῳδίας πολλάς.

CXXXVII. *Ἀφαρεὺς* Ἀθηναῖος ῥήτωρ, υἱὸς τοῦ σοφιστοῦ Ἱππίου καὶ Πλαθάνης, πρόγονος δὲ Ἰσοκράτους τοῦ ῥήτορος, ἀκμάσας κατὰ τὴν ϛέ ὀλυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος.

CXXXVIII. *Ἀφθόνιος* σοφιστής. ἔγραψεν εἰς τὴν Ἑρμογένους τέχνην προγυμνάσματα.

CXXXIX. *Ἀφρικανός* ὁ Σέξτος χρηματίσας, φιλόσοφος Λίβυς, ὁ τοὺς Κεστοὺς γεγραφὼς ἐν βιβλίοις κδʹ. εἰσὶ δὲ οἱονεὶ φυσικά, ἔχοντα ἐκ λόγων τε καὶ ἐπαοιδῶν καὶ γραπτῶν τινων χαρακτήρων ἰάσεις τε καὶ ἀλλοίων ἐνεργειῶν. κατὰ τού-

του ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου τοῦ εἰς τὸν Δανιήλ.

CXL. Ἀχαιὸς Πυθοδώρου ἢ Πυθοδωρίδου, Ἐρετριεὺς τραγικός, γέγονε κατὰ τὴν οδ' ὀλυμπιάδα, καὶ δράματα ἐδίδαξε μδ', οἱ δὲ λ' ἱστορήκασιν, ἄλλοι κδ'. ἐνίκησε δὲ ἕν. ἦν δὲ νεώτερος Σοφοκλέους ὀλίγῳ τινί. ἐπεδείκνυντο δὲ κοινῇ σὺν καὶ Εὐριπίδῃ ἀπὸ τῆς πγ' ὀλυμπιάδος.

CXLI. Ἀχαιὸς Συρακούσιος, τραγικὸς νεώτερος. ἔγραψε τραγῳδίας ι'.

CXLII. Ἀχιλλεὺς Τάτιος Ἀλεξανδρεύς, ὁ γράψας τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα καὶ ἄλλα ἐρωτικὰ ἐν βιβλίοις η'. γέγονεν ἔσχατον Χριστιανὸς καὶ ἐπίσκοπος. | ἔγραψε δὲ περὶ σφαίρας καὶ ἐτυμολογίας, καὶ ἱστορίαν σύμμικτον πολλῶν καὶ μεγάλων καὶ θαυμασίων ἀνδρῶν μνημονεύουσαν. ὁ δὲ λόγος αὐτοῦ κατὰ πάντα ὅμοιος τοῖς ἐρωτικοῖς. |

CXLIII. Ἀφίνης Ἀθηναῖος σοφιστής, Ὀνασίμου πατὴρ τοῦ σοφιστοῦ τοῦ πατρὸς Ἀψίνου.

CXLIV. Ἀψίνης Γαδαρεὺς σοφιστής, σπαρείς, ὡς λόγος, ἐκ Πανός, μαθητεύσας δὲ ἐν Σμύρνῃ Ἡρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ, ἐσοφίστευσεν Ἀθήνησι βασιλεύοντος Μαξιμίνου, ὑπατικοῦ λαβὼν ἀξίωμα.

CXLV. Ἀψίνης Ὀνασίμου τοῦ σοφιστοῦ Ἀθηναίου σοφιστὴς νεώτερος τοῦ Γαδαρέως Ἀψίνου.

CXLVI. Ἄψυρτος Προυσαεὺς ἢ Νικομηδεύς, στρατιώτης στρατευσάμενος ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως ἐν Σκυθίᾳ παρὰ τὸν Ἴστρον. ἱππιατρικὸν βιβλίον οὗτος ἔγραψε καὶ φυσικὸν περὶ τῶν αὐτῶν ἀλόγων καὶ ἕτερα. ἔγραψε καὶ Σίμων Ἀθηναῖος ἱπποσκοπικὸν βιβλίον θαυμάσιον.

CXLVII. Βαβρίας ἢ Βάβριος. μύθους ἤτοι μυθιάμβους (εἰσὶ γὰρ διὰ χωλιάμβων ἐν βιβλίοις ι'). οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιίας εἰς ἔμμετρα ἤγουν τοὺς χωλιάμβους.

CXLVIII. Βακχυλίδης Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος (ἔχει γὰρ πόλεις δ', Ἰουλίδα, Καρθαίαν, Κο-

*ρησσίαν*, *Ποιήεσσαν*), *Μέδωνος υἱὸς τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός, συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ καὶ αὐτὸς λυρικός.*

CXLIX. *Βάρρων ἱστορικός. ἐπιτομὴν τῶν κατ' Ἀλέξανδρον τὸν Μακεδόνα.*

CL. *Βασίλειος Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος, ἥτις πρώην Μάζακα ἐκαλεῖτο, ἑταῖρος Γρηγορίου τοῦ Ναζιανζοῦ ἐπισκόπου. γέγονε δὲ γονέων περιφανῶν, Βασιλείου τε καὶ Ἐμμελείας, ὧν ἄνωθεν ἡ συγγένεια, ἀνὴρ ἐλλογιμώτατος καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς. οὗτος ἔγραψε πλεῖστα, ἐν οἷς θαυμάζεται τὰ εἰς τὴν ἑξαήμερον. καὶ κατ' Εὐνομίου δὲ ἐξαιρέτους συνέταξε λόγους, καὶ περὶ τοῦ ἁγίου πνεύματος τεῦχος, καὶ τὰς εἰς τὴν ἑξαήμερον ὁμιλίας ἐννέα, ἕτερον τεῦχος ἀσκητικόν, περὶ παρθενίας ἄλλο, ἔπαινον εἰς τοὺς μ' μάρτυρας, ἕτερον εἰς Γόρδιον, ἄλλον εἰς Βαρλαάμ, ἕτερον εἰς Ἰουλίτταν. εἰς διαφόρους ψαλμοὺς ἠθικοὶ λόγοι διάφοροι, ἐπιστολαί, ὧν οὐδὲν ἄμεινον, πρός τε τὸν σοφιστὴν Λιβάνιον καὶ πρὸς τὸν φίλον Γρηγόριον καὶ εἰς ἄλλους πλείονας. τελευτᾷ δὲ Βασίλειος Γρατιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος.*

CLI. *Βασιλικὸς σοφιστής. περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, περὶ ῥητορικῆς παρασκευῆς ἤτοι περὶ ἀσκήσεως, περὶ μεταποιήσεως καὶ ἄλλα τινά.*

LCII. *Βάτων κωμικός. δράματα αὐτοῦ Συνεξαπατῶν, Ἀνδροφόνος, Εὐεργέται.*

CLIII. *Βημάρχιος Καισαρεὺς ἐκ Καππαδοκίας, σοφιστής. οὗτος ἔγραψε τὰς Κωνσταντίνου τοῦ βασιλέως πράξεις ἐν βιβλίοις ι', μελέτας τε καὶ λόγους διαφόρους.*

CLIV. *Βροῦτος στρατηγὸς Ῥωμαίων. ἔγραψεν ἐπιστολὰς καὶ τῶν Πολυβίου τοῦ ἱστορικοῦ βίβλων ἐπιτομήν. θαυμάζεται δὲ εἰς τὴν τῶν ἐπιστολῶν ἰδέαν ἤγουν χαρακτῆρα.*

CLV. *Βῶλος Δημοκρίτειος φιλόσοφος. ἱστορίαν καὶ τέχνην ἰατρικήν (ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως).*

CLVI. *Βῶλος Μενδήσιος Πυθαγόρειος. περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγόντων, περὶ θαυμασίων, φυσικὰ δυναμερά (ἔχει δὲ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν), ⟨περὶ⟩ λίθων κατὰ στοιχεῖον, περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτου καὶ λύχνου καὶ ἴριδος.*

CLVII. *Γαϊανὸς Ἀράβιος σοφιστής, μαθητὴς Ἀψίνου*

τοῦ Γαδαρέως· ἦν δὲ ἐπί τε Μαξιμίνου καὶ Γορδιανοῦ. ἐσοφίστευσεν ἐν Βηρυτῷ. περὶ συντάξεως βιβλία ε', τέχνην ῥητορικήν, μελέτας.

CLVIII. Γάϊος Ἰούλιος Καῖσαρ ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραφε μετάφρασιν τῶν Ἀράτου φαινομένων καὶ τέχνην γραμματικὴν ῥωμαϊκῶς καὶ περὶ τοῦ ἰδίου βίου.

CLIX. Γάϊος Καῖσαρ, ὃς ἐπεκλήθη Καλλιγόλας. ῥητορικὴν ῥωμαϊκῶς.

CLX. Γαληνὸς ὁ διασημότατος ἰατρός, Περγαμηνός, γεγονὼς ἐπὶ Μάρκου καὶ Κομόδου καὶ Περτίνακος τῶν Καισάρων ἐν Ῥώμῃ, υἱὸς Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ συντεταχὼς ἰατρικά τε καὶ φιλόσοφα, ἔτι τε γραμματικὰ καὶ ῥητορικά, ἅτινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα καταλέγειν ἄκαιρον ἡγησάμην ἐν τῷ παρόντι. ἐβίω ἔτη ο'.

CLXI. Γενέθλιος Γενεθλίου, Παλαιστῖνος ἐκ Πετρῶν, σοφιστής, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀνδιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν ⟨μιᾷ⟩ ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν κη'. ἔγραφε δὲ λαλιὰς ἤτοι διαλέξεις καὶ μελέτας, ὧν ἐστιν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, πανηγυρικούς.

CLXII. Γέσιος, ἰατροσοφιστής, Πετραῖος τὸ γένος, ἐπὶ Ζήνωνος. καθελὼν δὲ Δόμνον τὸν ἑαυτοῦ διδάσκαλον, Ἰουδαῖον ὄντα καὶ τοὺς ἑταίρους εἰς ἑαυτὸν μεταστησάμενος ὀλίγου πάντας, πανταχῇ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν. οὗτος κατώρθωσε τέχνην ἰατρῶν καθ' ἑαυτὸν πάντων.

CLXIII. Γεώργιος διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην Πισίδης. ἑξαήμερον δι' ἰάμβων εἰς ἔπη τρισχίλια, εἰς Ἡράκλειον τὸν βασιλέα καὶ εἰς τὸν κατὰ Περσῶν πόλεμον, ἔτι τε Ἀβαρικὰ καὶ καταλογάδην ἐγκώμιον εἰς τὸν μάρτυρα Ἀναστάσιον.

CLXIV. Γοργίας Χαρμαντίδου, Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου καὶ Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου, ὃς

αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο. ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π' ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραστικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαστον μνᾶς ρ'. ἐβίω δὲ ἔτη ρθ', καί συνεγράψατο πολλά.

CLXV. Γρηγόριος ὁ καὶ Θεόδωρος, ὁ θαυματουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτὸν κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιστίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ, οὓς καὶ κατὰ μέρος εἰς τὴν τοῦ Χριστοῦ πίστιν εἰσάγων Ὠριγένης ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε τοίνυν παρ' αὐτοῦ παιδευθέντες ἐνιαυτοὺς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ' οὗ ὁ Γρηγόριος ἀποδημῶν πανηγυρικὸν εὐχαριστίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους, αὐτοῦ τε τοῦ Ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅστις ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ καὶ μετάφρασιν εἰς τὸν ἐκκλησιαστήν, ἐλάχιστον μὲν πάνυ δὲ θαυμαστὸν λόγον. καὶ ἄλλας δὲ πολλὰς καὶ ποικίλας ἐπιστολὰς καὶ λόγους συνεγράψατο, ποιήσας τε σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν, ἐτελεύτησεν ἐπ' Αὐρηλιανοῦ.

CLXVI. Γρηγόριος Ναζιανζοῦ ἐπίσκοπος (σταθμὸς δέ ἐστιν οὗτος Καππαδοκίας), ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος δὲ φίλος Βασιλείου, τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά (εἰς γὰρ τρεῖς μυριάδας στίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν), ἀφ' ὧν εἰσι τάδε· περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρείου, ἐπιτάφιος εἰς τὸνέαυ τοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, περὶ φιλοπτωχίας, ἐπαίνους τῶν Μακκαβαίων, ἐπαίνους Κυπριανοῦ, ἐπαίνους Ἀθανασίου, ἐπαίνους Ἥρωνος φιλοσόφου, κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως λόγοι β', κατὰ Εὐνομίου λόγοι β', περὶ θεολογίας α', περὶ υἱοῦ λόγοι β', περὶ τοῦ ἁγίου πνεύματος λόγος α', πανηγυρικοὶ λόγοι ι' καὶ ἕτεροι πλεῖστοι καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τοῦ

Λαοδικέως τοῦ σοφιστεύσαντος ἐν Σμύρνῃ, ὃς ἐγεγόνει διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι' ἑξαμέτρων, παρθενίας καὶ γάμου καθ' ἑαυτοὺς διαλεγομένων, καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς.

CLXVII. Γρηγόριος Νύσσης ἐπίσκοπος, ἀδελφὸς Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως, προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι· καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρός, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ' Εὐνομίου λόγον ἐξαίρετον καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας, εἴς τε τὰ ᾄσματα τῶν ᾀσμάτων καὶ εἰς τὸν ἐκκλησιαστὴν καὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει καὶ τὸν πολυθαύμαστον ἔπαινον τοῦ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τοῦ ἐν θαύμασι διαλάμψαντος.

CLXVIII. Γυμνάσιος Σιδώνιος σοφιστής, ἐπὶ τῶν Κωνσταντίνου τοῦ βασιλέως χρόνων. ἔγραψε μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα καὶ ἄλλα τινά.

CLXIX. Δαμάσκιος Στωικὸς φιλόσοφος, Σύρος, Σιμπλικίου καὶ Εὐλαλίου τῶν Φρυγῶν ὁμιλητής, ἤκμαζεν ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων. γέγραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα καὶ περὶ ἀρχῶν καὶ φιλόσοφος ἱστορία.

CLXX. Δάμασος Ῥώμης ἐπίσκοπος, εἰς ἐποποιίαν εὐφυής, πολλὰ καὶ σύντομα ἡρωικῷ μέτρῳ ἐξέδωκε καὶ ὀγδοηκοντούτης ἐπὶ Θεοδοσίου βασιλέως ἐτελεύτησεν. ἔγραψε καὶ ἄλλα πολλά.

CLXXI. Δαμάστης Σιγειεὺς ἀπὸ Σιγείου τῆς Τρωάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότῳ, τῶν πλουσιωτάτων, ἱστορικός. γέγονε δὲ Ἑλλανίκου μαθητής. γέγραφε περὶ τῶν ἐν Ἑλλάδι γενομένων, περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία β', ἐθνῶν κατάλογον καὶ πόλεων, περὶ ποιητῶν καὶ σοφιστῶν καὶ ἄλλα συχνά.

CLXXII. Δαμόκριτος ἱστορικός. τακτικὰ ἐν βιβλίοις β', περὶ Ἰουδαίων, ἐν ᾧ φησιν, ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν, καὶ κατὰ ἑπταετίαν ξένον ἀγρεύοντες προσέφερον καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον καὶ οὕτως ἀνῄρουν.

CLXXIII. Δαμόξενος Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ Σύντροφοι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν, καὶ Ἑαυτὸν πενθῶν, ὡς πάλιν ὁ αὐτὸς ἐν τῷ ια'.

CLXXIV. Δαμόστρατος ἱστορικός. ἁλιευτικὰ ἐν βιβλίοις κ' καὶ περὶ τῆς ἐνύδρου μαντικῆς καὶ ἕτερα σύμμικτα ἐχόμενα ἱστορίας.

CLXXV. Δαμόφιλος φιλόσοφος, σοφιστής, ὃν ἀνεθρέψατο Ἰουλιανὸς ὁ ἐπὶ Μάρκου τοῦ βασιλέως ὕπατος, γράψας πάμπολλα, ἐξ ὧν ταῦτά μοι εὕρηται ἐπὶ ταῖς τῶν βιβλίων θήκαις· Φιλόβιβλος ἢ περὶ ἀξιοκτήτων βιβλίων, πρὸς Λόλλιον Μάξιμον, περὶ βίου ἀρχαίων καὶ ἕτερα πάμπολλα.

CLXXVI. Δαφίδας Τελμισσεὺς γραμματικός, γεγραφὼς περὶ Ὁμήρου καὶ τῆς ποιήσεως αὐτοῦ ὅτι ἐψεύσατο· Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον. ἦν δὲ οὗτος λοιδορούμενος παντὶ καὶ μέχρις αὐτῶν μὴ φειδόμενος τῶν θεῶν, ⟨ὥστε⟩ καὶ Ἄτταλον μὲν τὸν βασιλέα Περγάμου διὰ τοῦτο ἔχειν αὐτῷ ἐπιβουλεύοντα, εἰς δὲ τὴν Πυθίαν ἐλθόντα ποτὲ σκώπτειν εἰς τὸ μαντεῖον καὶ ἐπιγελῶντα ἐρέσθαι, εἰ τὸν ἵππον εὑρήσει. χρησθῆναι δὲ αὐτῷ εὑρήσειν ταχέως. εἶτα ἐκεῖνον διαθρυλῆσαι τοῦτο, ὅτι μηδὲ ἦν αὐτῷ ἵππος, μηδὲ ἀπώλετο. ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐπέταξε κατακρημνισθῆναι· ἐν ᾧ δὲ τόπῳ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος ὁ τόπος, καὶ ἔγνω πρὸς τῷ θανάτῳ μὴ ἐψεῦσθαι τὸ λόγιον. οὕτως οὖν ἐνυβρίσας κακῶς ἀπώλετο.

CLXXVII. Δείναρχος Κορίνθιος ῥήτωρ, εἷς τῶν μετὰ Δημοσθένους ἐγκριθέντων (υἱὸς τίνος ἐστὶν οὐχ ἱστόρηται), γράψας κατὰ μέν τινας λόγους τοὺς πάντας ρξ', κατὰ δὲ τὸ ἀληθέστερον μόνους ξ', τοὺς πάντας δικανικούς, ὧν οἱ μέν εἰσι δημόσιοι, οἱ δὲ ἰδιωτικοί. ἐτελεύτησε δὲ οὗτος ἐπιμελητὴς Πελοποννήσου καταστὰς ὑπὸ Ἀντιπάτρου, μετὰ τὸ τελευτῆσαι Ἀντίπατρον Πολυσπέρχοντος αὐτῷ ἐπιβουλεύσαντος.

CLXXVIII. Δεινόλοχος Συρακούσιος ἢ Ἀκραγαντῖνος, κωμικός. ἦν ἐπὶ τῆς ογ' ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου, ὡς δέ τινες, μαθητής. ἐδίδαξε δράματα ιδ' Δωρίδι διαλέκτῳ.

CLXXIX. Δεξικράτης. οὗτος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ εἰσιν Ὑφ' ἑαυτῶν πλανώμενοι, ὡς Ἀθήναιός φησιν ἐν γ' Δειπνοσοφιστῶν . . .

CLXXX. Δέξιππος [Δεξίππου] ὁ Ἐρέννιος χρηματίσας,

Ἀθηναῖος ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλιήνου καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ τῶν βασιλέων Ῥωμαίων.

CLXXXI. Δέξιππος Κῷος ἰατρός, Ἱπποκράτους μαθητής, ὃς μεταπεμφθεὶς ὑπὸ Ἑκατόμνου τοῦ Καρῶν βασιλέως ἰάσασθαι αὐτοῦ τοὺς παῖδας ἀπογνωσθέντας Μαυσωλὸν καὶ Πιξώδαρον, ἐπὶ ὑποσχέσει ἰάσατο τοῦ παῦσαι τὸν πρὸς Κᾶρας τότε αὐτῷ ἐνεστῶτα πόλεμον. ἔγραψεν ἰατρικὸν βιβλίον α' καὶ περὶ προγνώσεων β'.

CLXXXII. Δημάδης Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν. ἔγραψεν ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων. [οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας.] τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου.

CLXXXIII. Δημάδης Λακιάδης Ἀθηναῖος ῥήτωρ. τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης ὁ καὶ δημαγωγὸς ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημέα τοῦ ῥήτορος γέγονεν, ⟨ὃς⟩ καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Κασάνδρου Ἀντιπάτρου τοῦ πατρὸς διαδόχου. οὗτος μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέστησε.

CLXXXIV. Δημήτριος Ἰλιεὺς ἱστορικός. ἔγραψε Τρωικὰ ἐν βιβλίοις εἴκοσι.

CLXXXV. Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀδραμυττηνός, γεγονὼς κατὰ τοὺς Αὐγούστου τοῦ Καίσαρος χρόνους, ὃς διέτριψεν ἐν Περγάμῳ. ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη, ὡς δὲ ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν Ἰξίονα, ἕτεροι δέ, ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήρισεν, ὥσπερ ὁ Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. ἔγραψε [δὲ πολλὰ] περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ ἀντωνυμιῶν, εἰς Ὅμηρον ἐξήγησιν, εἰς Ἡσίοδον ὁμοίως καὶ ἄλλα.

CLXXXVI. Δημήτριος Φανοστράτου Φαληρεύς (Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς), ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο, φιλόσοφος περιπατητικός. [γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ

ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἠκροάσατο δὲ Θεοφράστου, καὶ δημαγωγὸς Ἀθήνησι γέγονε.] συνέγραψε [δὲ] συχνὰ βιβλία. οὕτω δὲ ἦν σφόδρα εὐπρεπής, ὡς καὶ διαβολὴν λαβεῖν, ὅτι γέγονεν ἐρώμενος Κλέωνος, καὶ προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καί ἐπικρατείας ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη, καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθε, καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ διατρίβων δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσιν.

CLXXXVII. Δημοκήδης Καλλιφῶντος, ἱερέως ἐν Κνίδῳ γενομένου Ἀσκληπιοῦ, Κροτωνιάτης ἰατρός, ὃς ἐν Αἰγίνῃ ἰάτρευσέ τε καὶ ἔγημε, καὶ Πολυκράτην τὸν Σάμου τύραννον ἰάτρευσεν ἐπὶ χρυσίου ταλάντοις δύο, καὶ ὑπὸ Δαρείου τοῦ Πέρσου μετεπέμφθη, καὶ συνεγένετο αὐτῷ χρόνον ἱκανόν. ἔγραφεν ἰατρικὸν βιβλίον.

CLXXXVIII. Δημόκριτος Ἡγησιστράτου (οἱ δὲ Ἀθηνοκρίτου ἢ Δαμασίππου), γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ' ὀλυμπιάδα (οἱ δὲ κατὰ τὴν π' φασίν), Ἀβδηρίτης ἐκ Θρᾴκης, φιλόσοφος, μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες, καὶ Μάγων καὶ Χαλδαίων Περσῶν. ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους, καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά, εἶτα ἐπανῆλθε καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάσῳ. ἦρξε δὲ ἐν Ἀβδήροις διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς. μαθητὴς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος, οὗ πάλιν ἀκροαταὶ Ἀνάξαρχος καὶ Ἱπποκράτης ὁ ἰατρός. ἐπεκλήθη δὲ Σοφία ὁ Δημόκριτος, καὶ Γελασῖνος [δὲ] διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων. γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε μέγας διάκοσμος καὶ τὸ περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ ἐπιστολάς.

CLXXXIX. Δημοσθένης Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τῶν δήμων Παιανιεύς, ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς Ἕρμιππος ἱστορεῖ, καὶ πρὸς τὰς ἡδονὰς ἀκόλαστος, ὡς καὶ τοῦτό φησιν ὁ αὐτός. ὅθεν καὶ νέος μὲν ὢν Βάταλος ἐκλήθη ὡς καὶ γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος, Ἀργὰς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἐστὶν ὄνομα

ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. διήκουσε δὲ Ἰσαίου τοῦ Ἰσοκράτους μαθητοῦ, καὶ τοῖς λόγοις ἐχρῆτο Ζωίλου τοῦ Ἀμφιπολίτου σοφιστεύοντος ἐν Ἀθήναις, καὶ Πολυκράτους, καὶ Ἀλκιδάμαντος τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι Ἰσοκράτους. συνεφιλολόγησε δὲ Αἰσίωνι τῷ Ἀθηναίῳ καὶ Θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ, διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ διαλεκτικοῦ καὶ Πλάτωνος. ἐτελεύτησε δὲ φυγὼν εἰς Καλαυρίαν ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ διὰ τὸν Μακεδόνα Ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας ξβʹ.

CXC. Δημοσθένης Θρᾷξ. οὗτος ἔγραψε μετάφρασιν Ἰλιάδος πεζῷ λόγῳ, ἐπιτομὴν τῶν Δαμαγήτου τοῦ Ἡρακλεώτου, περὶ διθυραμβοποιῶν, μετάφρασιν εἰς τὴν Ἡσιόδου θεογονίαν.

CXCI. Διαγόρας Τηλεκλείδου ἢ Τηλεκλύτου, Μήλιος, φιλόσοφος καὶ ᾀσμάτων ποιητής, ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν, καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν κατὰ Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος. ἤκμαζε τοίνυν οηʹ ὀλυμπιάδι. ἐπεκλήθη δὲ ἄθεος, διότι τοῦτο ἐδόξαζεν ἀφ' οὗ τις ὁμότεχνος, αἰτιαθεὶς ὑπ' αὐτοῦ, ὡς δὴ παιᾶνα ἀφελόμενος ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς καλουμένους ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας αὐτόθι τὸν βίον κατέστρεψεν.

CXCII. Δίδυμος Ἀτήιος [ἢ Ἄττιος] χρηματίσας, φιλόσοφος Ἀκαδημαϊκός. πιθανῶν καὶ σοφισμάτων λύσεις ἐν βιβλίοις βʹ καὶ ἄλλα πολλά.

CXCIII. Δίδυμος Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀριστάρχειος, Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος καὶ ἕως Αὐγούστου, Χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντακόσια βιβλία.

CXCIV. *Δίδυμος νέος* Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. ἔγραψε πιθανά, περὶ ὀρθογραφίας καὶ ἄλλα πλεῖστα καὶ ἄριστα.

CXCV. *Δίδυμος ὁ* Κλαύδιος χρηματίσας, γραμματικός. περὶ τῶν ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ, περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας, ἐπιτομὴν τῶν Ἡρακλέωνος καὶ ἄλλα τινά.

CXCVI. *Δίδυμος ὁ* τοῦ Ἡρακλείδου, γραμματικός, ὃς διέτριψε παρὰ Νέρωνι καὶ ἐχρηματίσατο, μουσικός τε ἦν λίαν καὶ πρὸς μέλη ἐπιτήδειος.

CXCVII. *Δίδυμος* Ἀλεξανδρεύς. γεωργικὰ ἐν βιβλίοις ιε΄.

CXCVIII. *Δικαίαρχος* Λακεδαιμόνιος, γραμματικός, ἀκροατὴς Ἀριστάρχου.

CXCIX. *Δικαίαρχος* Φειδίου, Σικελιώτης ἐκ πόλεως Μεσσήνης, Ἀριστοτέλους ἀκουστής, φιλόσοφος καὶ ῥήτωρ καὶ γεωμέτρης. καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν, Ἑλλάδος βίον ἐν βιβλίοις γ΄. οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν. καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτησε μέχρι πολλοῦ.

CC. *Δικαιογένης* [ὄνομα κύριον, ὃς] τραγῳδίας καὶ διθυράμβους ἔγραψεν.

CCI. *Δίκτυς* ἱστορικός. ἔγραψεν ἐφημερίδα (ἔστι δὲ τὰ μεθ' Ὅμηρον καταλογάδην ἐν βιβλίοις θ΄), Ἰλιακά, Τρωικοῦ διακόσμου. οὗτος ἔγραψε τὰ περὶ τῆς ἁρπαγῆς Ἑλένης καὶ περὶ Μενελάου καὶ πάσης Ἰλιακῆς ὑποθέσεως.
ὅτι ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης, καὶ πολλῶν τάφων ἀνεωχθέντων, εὑρέθη ἐν ἑνὶ τούτων τὸ σύνταγμα τῆς ἱστορίας Δίκτυος, τὸν Τρωικὸν περιέχον πόλεμον, ὅπερ λαβὼν Κλαύδιος ἐξέδωκε γράφεσθαι.

CCII. *Διογενειανὸς* Ἡρακλείας Πόντου, γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ βασιλέως.

CCIII. *Διογενειανὸς Ἡρακλείας* ἑτέρας, οὐ τῆς Πόντου, γραμματικός, γεγονὼς καὶ αὐτὸς ἐπὶ Ἀδριανοῦ βασιλέως.

ἐπιστατέον δέ, μήποτέ ἐστιν ὁ ἐκ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ ἰατρός· ἦν γὰρ οὗτος παντοίως λόγιος. οὐ γὰρ εὗρον ῥητῶς τὸ ἐξ Ἡρακλείας αὐτὸν εἶναι τῆς ἐν Πόντῳ, ἀλλ' οὕτω παρά τισι δεδόξασται. ἔστιν αὐτῷ βιβλία ταῦτα· λέξις παντοδαπὴ κατὰ στοιχεῖον ἐν βιβλίοις ε' (ἐπιτομὴ δέ ἐστι τῶν Παμφίλου λέξεων βιβλίων ε' καὶ ς' καὶ τῶν Ζωπυρίωνος), ἐπιγραμμάτων ἀνθολόγιον, περὶ ποταμῶν, λιμνῶν, κρηνῶν, ὀρῶν, ἀκρωρειῶν, περὶ παροιμιῶν κατὰ στοιχεῖον ἐπίτομον ἀναγραφήν, συναγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ τῇ γῇ πόλεων καὶ τὰ λοιπά.

CCIV. *Διογένης* ἢ Οἰνόμαος Ἀθηναῖος τραγικός. | γέγονεν ἐπὶ τῆς τῶν λ' καταλύσεως. | δράματα αὐτοῦ Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς, Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, Σεμέλη.

CCV. *Διογένης* [ἢ Διογενειανὸς] Κυζικηνὸς γραμματικός. ἔγραψε πάτρια Κυζίκου, περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων, περὶ ποιητικῆς, περὶ στοιχείων.

CCVI. *Διόδωρος* καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αὐλητρίς, ὡς Ἀθήναιος ἐν τῷ ι' τῶν Δειπνοσοφιστῶν λέγει. ἐν δὲ τῷ ιβ' φησίν, ὅτι καὶ Ἐπίκληρος καὶ Πανηγυρισταί.

CCVII. *Διόδωρος* μονάζων, ἐν τοῖς χρόνοις Ἰουλιανοῦ καὶ Οὐάλεντος ἐπισκοπήσας Ταρσῶν τῆς Κιλικίας. οὗτος ἔγραψεν, ὥς φησι Θεόδωρος ἀναγνώστης ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, διάφορα. εἰσὶ δὲ τάδε· ἑρμηνεῖαι εἰς τὴν παλαιὰν πᾶσαν, γένεσιν, ἔξοδον καὶ ἐφεξῆς, εἰς ψαλμοὺς καὶ εἰς τὰς δ' βασιλείας, εἰς τὰ ζητούμενα τῶν παραλειπομένων, εἰς τὰς παροιμίας, τίς διαφορὰ θεωρίας καὶ ἀλληγορίας, εἰς τὸν ἐκκλησιαστήν, εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων, εἰς τοὺς προφήτας, χρονικὸν διορθούμενον τὸ σφάλμα Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων, εἰς τὰ δ' εὐαγγέλια, εἰς τὰς πράξεις τῶν ἀποστόλων, εἰς τὴν ἐπιστολὴν Ἰωάννου τοῦ εὐαγγελιστοῦ, περὶ τοῦ εἷς θεὸς ἐν τριάδι, κατὰ Μελχισεδεκιτῶν, κατὰ Ἰουδαίων, περὶ νεκρῶν ἀναστάσεως, περὶ ψυχῆς, κατὰ διαφόρων περὶ αὐτῆς αἱρέσεων, πρὸς Γρατιανὸν κεφάλαια, κατὰ ἀστρονόμων καὶ ἀστρολόγων

καὶ εἱμαρμένης. περὶ σφαίρας καὶ τῶν ζ' ζωνῶν καὶ τῆς ἐναντίας τῶν ἀστέρων πορείας. περὶ τῆς Ἱππάρχου σφαίρας, περὶ προνοίας, κατὰ Πλάτωνος περὶ θεοῦ καὶ θεῶν, περὶ φύσεως καὶ ὕλης ἐν ᾧ τί τὸ δίκαιόν ἐστι, περὶ θεοῦ καὶ ὕλης Ἑλληνικῆς πεπλασμένης, ὅτι αἱ ἀόρατοι φύσεις οὐκ ἐκ τῶν στοιχείων ἀλλ' ἐκ μηδενὸς μετὰ τῶν στοιχείων ἐδημιουργήθησαν, πρὸς Εὐφρόνιον φιλόσοφον, κατὰ πεῦσιν καὶ ἀπόκρισιν, κατὰ Ἀριστοτέλους περὶ σώματος οὐρανίου, πῶς θερμὸς ὁ ἥλιος, κατὰ τῶν λεγόντων ζῷον τὸν οὐρανόν, περὶ τοῦ πῶς ἀεὶ μὲν ὁ δημιουργός, οὐκ ἀεὶ δὲ τὰ δημιουργήματα, πῶς τὸ θέλειν καὶ τὸ μὴ θέλειν ἐπὶ θεοῦ ἀϊδίου ὄντος, κατὰ Πορφυρίου περὶ ζῴων καὶ θυσιῶν.

CCVIII. Διόδωρος ὁ Οὐαλέριος ἐπικληθείς, φιλόσοφος, μαθητὴς Τηλεκλέους, Ἀλεξανδρεύς, υἱὸς Πωλίωνος τοῦ φιλοσόφου τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν, γεγονὼς ἐπὶ τοῦ Καίσαρος Ἀδριανοῦ.

CCIX. Διόδωρος Σικελιώτης ἱστορικός. ἔγραψε βιβλιοθήκην (ἔστι δὲ ἱστορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις μ'). γέγονε δὲ ἐπὶ τῶν χρόνων Αὐγούστου Καίσαρος καὶ ἐπάνω.

CCX. Διοκλῆς Ἀθηναῖος ἢ Φλιάσιος, ἀρχαῖος κωμικός, σύγχρονος Σαννυρίωνι καὶ Φιλυλλίῳ. δράματα αὐτοῦ Θάλαττα, Μέλιτται, Ὄνειροι, Βάκχαι, Θυέστης β'. τοῦτον δέ φασιν εὑρεῖν καὶ τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυληφίῳ. τὸ δὲ Θάλαττα ἑταίρας ὄνομά ἐστιν, ὡς Ἀθήναιός φησιν.

CCXI. Διονυσιάδης Φυλαρχίδου Μαλλώτης, τραγικός. ἦν δὲ οὗτος τῶν τῆς Πλειάδος, καὶ γέγραπται αὐτῷ μεταξὺ ἄλλων καὶ Χαρακτῆρες ἢ Φιλοκωμῳδός, ἐν ᾧ τοὺς χαρακτῆρας ἀπαγγέλλει τῶν ποιητῶν.

CCXII. Διονύσιος Ἁλικαρνασσεύς, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος, σοφιστής, ⟨ὁ⟩ καὶ Μουσικὸς κληθεὶς διὰ τὸ πλεῖστον ἀσκηθῆναι τὰ τῆς μουσικῆς. ἔγραψε δὲ ῥυθμικῶν ὑπομνημάτων βιβλία κδ', μουσικῆς ἱστορίας βιβλία λς' (ἐν δὲ τούτοις αὐλητῶν καὶ κιθαρῳδῶν καὶ ποιητῶν παντοίων μέμνηται), μουσικῆς παιδείας ἢ διατριβῶν βιβλία κβ', τίνα μουσικῶς εἴρηται ἐν τῇ Πλάτωνος πολιτείᾳ, βιβλία ε'.

CCXIII. *Διονύσιος* Ἀλεξανδρεύς, Θρᾷξ δὲ ἀπὸ τοῦ πατρὸς Τήρου τοὔνομα κληθείς, Ἀριστάρχου μαθητής, γραμματικός, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηίου τοῦ μεγάλου. συνέταξε δὲ πλεῖστα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα.

CCXIV. *Διονύσιος* Ἀλεξανδρεύς, ὁ Γλαύκου υἱός, γραμματικός, ὅστις ἀπὸ Νέρωνος ⟨ἦν καὶ⟩ συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ καὶ τῶν βιβλιοθηκῶν προύστη καὶ ἐπὶ τῶν ἐπιστολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμάτων. ἦν δὲ καὶ διδάσκαλος Παρθενίου τοῦ γραμματικοῦ, μαθητὴς δὲ Χαιρήμονος τοῦ φιλοσόφου, ὃν καὶ διεδέξατο ἐν Ἀλεξανδρείᾳ.

CCV. *Διονύσιος* Ἀλεξάνδρου Ἁλικαρνασσεύς, ῥήτωρ καὶ παντοίως λόγιος, γέγονε δὲ ἐπὶ Καίσαρος τοῦ Σεβαστοῦ, πρόγονος τοῦ ἐπὶ Ἀδριανοῦ γεγονότος Ἀττικιστοῦ.

CCXVI. *Διονύσιος* Μιτυληναῖος | ἐποποιός. | οὗτος ἐκλήθη Σκυτοβραχίων καὶ Σκυτεύς. τὴν Διονύσου καὶ Ἀθηνᾶς στρατείαν, Ἀργοναυτικὰ ἐν βιβλίοις ϛ′ (ταῦτα δέ ἐστι πεζά), | μυθικὰ πρὸς Παρμένοντα |.

CCXVII. *Διονύσιος* Βυζάντιος ἐποποιός. περιήγησιν τοῦ ἐν τῷ Βοσπόρῳ ἀνάπλου, περὶ θρήνων (ἔστι δὲ ποίημα μεστὸν ἐπικηδείων).

CCXVIII. *Διονύσιος* Κορίνθιος ἐποποιός. ὑποθήκας, Αἴτια ἐν βιβλίῳ α′, μετεωρολογούμενα καὶ καταλογάδην ὑπόμνημα εἰς Ἡσίοδον, | οἰκουμένης περιήγησιν δι' ἐπῶν |. ταῦτα δὲ εὗρον καὶ ἐν Διονυσίῳ τῷ τὰ Λιθιακὰ γράψαντι. πότερος οὖν αὐτῶν οὐκ οἶδα.

CCXIX. *Διονύσιος* Σικελίας τύραννος. ἔγραψε τραγῳδίας [καὶ κωμῳδίας] καὶ ἱστορικά.

CCXX. *Διονύσιος* υἱὸς τοῦ Σικελίας τυράννου, καὶ αὐτὸς τύραννος καὶ φιλόσοφος. ἐπιστολὰς καὶ περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

CCXXI. *Διονύσιος Μιλήσιος* ἱστορικός. τὰ κατὰ Δαρεῖον ἐν βιβλίοις ε′, | περιήγησιν οἰκουμένης, | Περσικὰ Ἰάδι διαλέκτῳ, | Τρωικῶν βιβλία γ′, μυθικά, κύκλον ἱστορικὸν ἐν βιβλίοις ζ′ |.

CCXXII. *Διονύσιος Μουσωνίου, Ῥόδιος ἢ Σάμιος, ἱστορικός· ἦν δὲ καὶ ἱερεὺς τοῦ ἐκεῖσε ἱεροῦ τοῦ Ἡλίου. ἱστορίας τοπικὰς ἐν βιβλίοις ς΄, | οἰκουμένης περιήγησιν, ἱστορίας παιδευτικῆς βιβλία ι΄ |. ὑπολαμβάνω, ὅτι Διονύσιος ὁ περιηγητὴς Βυζάντιος ἦν διὰ τὸν ποταμὸν Ῥῆβαν.*

CCXXIII. *Διονύσιος Ἀλεξανδρείας, οὗ εὗρον ὑπόμνημα εἰς τὸν ἐκκλησιαστὴν Σολομῶντος λίαν εὐφραδές.*

CCXXIV. *Διοσκορίδης Ἀναζαρβεὺς ἰατρός, ὁ ἐπικληθεὶς Φακᾶς διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. συνῆν δὲ Κλεοπάτρᾳ ἐπὶ Ἀντωνίου, καὶ γέγραπται αὐτῷ βιβλία κδ΄, τὰ πάντα ἰατρικὰ περιβόητα.*

CCXXV. *Διοσκόριος Μυραῖος γραμματικός, ὕπαρχος πόλεως καὶ πραιτωρίων, ὁ διδάξας τὰς θυγατέρας Λέοντος τοῦ βασιλέως ἐν Βυζαντίῳ.*

CCXXVI. *Δίων Ἱππαρίνου Συρακούσιος, φιλόσοφος Πλατωνικός, τοῦ Σικελίας τυράννου Διονυσίου τοῦ προτέρου τῆς γαμετῆς Ἀριστομάχης ἀδελφός, ὃς καὶ ἐκράτησε τῆς Σικελίας τυραννίδος, ἐκβαλὼν τὸν τοῦ προτέρου Διονυσίου υἱὸν Διονύσιον, οὗ πάλιν ἀδελφὸς Νισαῖος ἐξέβαλε Δίωνα τοῦτον. ἔγραψεν ἐπιστολὰς πρὸς Πλάτωνα καὶ ἄλλας τινάς.*

CCXXVII. *Δίων ὁ Κάσσιος χρηματίσας, ὁ ἐπίκλην Κοκκήιος (οἱ δὲ Κοκκηιανός), Νικαεύς, ἱστορικός, γεγονὼς ἐπὶ τῶν χρόνων Ἀλεξάνδρου τοῦ Μαμαίας. ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν ἐν βιβλίοις π΄ (διαιροῦνται δὲ κατὰ δεκάδας), | Περσικά, Γετικά, | Ἐνόδια, τὰ κατὰ Τραϊανόν, βίον Ἀρριανοῦ τοῦ φιλοσόφου.*

CCXXVIII. *Δίων ὁ Πασικράτους Προυσαεύς, σοφιστὴς καὶ φιλόσοφος, ὃν Χρυσόστομον ἐκάλεσαν. ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φορῶν προιέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα, καὶ διέτριψε τὸ πλεῖστον παρὰ Τραϊανῷ τῷ Καίσαρι, ὡς καὶ συγκαθέζεσθαι ἐν τῷ βασιλικῷ ὀχήματι. ἔγραψεν εἰ φθαρτὸς ὁ κόσμος, ἐγκώμιον Ἡρακλέους καὶ Πλάτωνος, ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα δ΄, περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν η΄.*

CCXXIX. *Διώξιππος Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ Ἀντιπορνοβοσκός, Φιλάργυρος, Ἱστοριογράφος, Διαδικαζόμενοι.*

CCXXX. Δομνῖνος, φιλόσοφος Σύρος, ἀπό τε Λαοδικείας καὶ Λαρίσσης, πόλεως Συρίας, μαθητὴς Συριανοῦ καὶ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος. ἔγραφε κατὰ τῶν τοῦ Πλάτωνος δοξασμάτων.

CCXXXI. Δοῦρις ἱστορικός. ἔγραψεν ἱστορίαν Λιβυκὴν καὶ Περσικήν.

CCXXXII. Δράκων Ἀθηναῖος νομοθέτης. οὗτος εἰς Αἴγιναν ἐπὶ νομοθεσίας εὐφημούμενος ὑπὸ τῶν Αἰγινητῶν ἐν τῷ θεάτρῳ, ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας καὶ χιτῶνας καὶ ἱμάτια, ἀπεπνίγη, καὶ ἐν αὐτῷ ἐτάφη τῷ θεάτρῳ. γέγονε δὲ τοῖς χρόνοις κατὰ τοὺς ζ' σοφούς, ἢ μᾶλλον καὶ πρεσβύτερος· τῇ γοῦν λθ' ὀλυμπιάδι τοὺς νόμους ἔθετο γηραιὸς ὢν τοῖς Ἀθηναίοις. ἔγραψεν ὑποθήκας εἰς ἔπη τρισχίλια.

CCXXXIII. Δράκων Στρατονικεὺς γραμματικός. τεχνικά, ὀρθογραφίαν, περὶ τῶν κατὰ συζυγίαν ὀνομάτων, περὶ ἀντωνυμιῶν, περὶ μέτρων, περὶ σατύρων, περὶ τῶν Πινδάρου μελῶν, περὶ τῶν Σαπφοῦς μέτρων, περὶ τῶν Ἀλκαίου μελῶν.

CCXXXIV. Δράκων υἱιδοῦς Ἱπποκράτους τοῦ διασήμου ἰατροῦ, ἀπὸ Θεσσάλου, πατὴρ δὲ Ἱπποκράτους, οὗ πάλιν γέγονε Δράκων, ἰατρὸς καὶ αὐτός, ὃς Ῥωξάνην ἰάτρευσε συνοικοῦσαν Ἀλεξάνδρῳ τῷ Μακεδόνι.

CCXXXV. Δωσιάδης [ὄνομα κύριον] . . .

CCXXXVI. Δωσίθεος [ὄνομα κύριον] . . .

CCXXXVII. Εἰρηναῖος ὁ καὶ Πάκατος κληθεὶς τῇ Ῥωμαίων διαλέκτῳ, μαθητὴς Ἡλιοδώρου τοῦ μετρικοῦ, γραμματικὸς Ἀλεξανδρεύς. περὶ τῆς Ἀθηναίων προπομπίας, περὶ τῆς Ἀλεξανδρέων διαλέκτου, ὅτι ἐστὶν ἐκ τῆς Ἀτθίδος, βιβλία ζ', Ἀττικῶν ὀνομάτων βιβλία γ', Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ κατὰ στοιχεῖον βιβλία γ', κανόνας ἑλληνισμοῦ βιβλίον α', περὶ ἀττικισμοῦ βιβλίον α' καὶ ἄλλα πολλά.

CCXXXVIII. Ἑκαταῖος Ἀβδηρίτης φιλόσοφος, ὃς ἐπεκλήθη καὶ κριτικὸς γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. βιβλία αὐτοῦ ταῦτα· περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου . . . . .

CCXXXIX. Ἑκαταῖος Ἡγησάνδρου Μιλήσιος, γέγονε κατὰ τοὺς Δαρείου χρόνους τοῦ μετὰ Καμβύσην βασιλεύσαντος, ὅτε καὶ Διονύσιος ἦν ὁ Μιλήσιος, ἐπὶ τῆς ξε' ὀλυμπιάδος, ἱστοριογράφος. Ἡρόδοτος δὲ ὁ Ἁλικαρνασεὺς ὠφέληται ⟨ὑπὸ⟩ τούτου νεώτερος ὢν ⟨γέγονε γὰρ μετ' αὐτόν⟩. καὶ ἦν ἀκουστὴς Πρωταγόρου [ὁ Ἑκαταῖος]. πρῶτος δὲ ἱστορίαν πεζῶς ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀκουσιλάου νοθεύεται.

CCXL. Ἑλικώνιος ἀστρονόμος. ἀποτελεσματικά, περὶ διοσημείων καὶ ἄλλα πολλά.

CCXLI. Ἑλικώνιος σοφιστὴς Βυζάντιος, ἔγραψε χρονικὴν ἐπιτομὴν ἀπὸ τοῦ Ἀδὰμ μέχρι Θεοδοσίου τοῦ μεγάλου ἐν βιβλίοις ι'.

CCXLII. Ἑλλάδιος Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς κατὰ Θεοδόσιον τὸν βασιλέα τὸν νέον. λέξεως παντοίας χρῆσιν κατὰ στοιχεῖον, ἔκφρασιν φιλοτιμίας, Διόνυσον ἢ μοῦσαν, ἔκφρασιν τῶν λουτρῶν Κωνσταντίνου, ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.

CCXLIII. Ἑλλάνικος Μιλήσιος ἱστορικός. περίοδον γῆς καὶ ἱστορίας.

CCXLIV. Ἑλλάνικος Μιτυληναῖος ἱστορικός, υἱὸς Ἀνδρομένους, οἱ δὲ Ἀριστομένους, οἱ δὲ Σκάμωνος, οὗ ὁμώνυμον ἔσχεν υἱόν. διέτριψε δὲ Ἑλλάνικος σὺν Ἡροδότῳ παρὰ Ἀλεξάνδρῳ τῷ Μακεδόνων βασιλεῖ κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους, καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε γεγονότι κατὰ τὰ Περσικὰ καὶ μικρῷ πρόσθεν. ἐξέτεινε δὲ καὶ μέχρι τῶν Ἀρχελάου χρόνων, καὶ ἐτελεύτησεν ἐν Περπερίνῃ τῇ καταντικρὺ Λέσβου. συνεγράψατο δὲ πλεῖστα πεζῶς τε καὶ ποιητικῶς.

CCXLV. Ἐμπεδοκλῆς Μέτωνος, οἱ δὲ Ἀρχινόμου, οἱ δὲ Ξενέτου, Ἀκραγαντῖνος [δὲ], φιλόσοφος φυσικὸς καὶ ἐποποιός. καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. ἠκροάσατο δὲ πρώτου Παρμενίδου, οὗ τινος, ὥς φησι Πορφύριος ἐν φιλοσόφῳ ἱστορίᾳ, ἐγένετο παιδικά. οἱ δὲ ἔφρασαν μαθητὴν Τηλαύγους τοῦ Πυθαγόρου υἱοῦ τὸν Ἐμπεδοκλέα γενέσθαι. [οὗτος ὁ Ἐμπεδοκλῆς στέμμα ἔχων ἐπὶ τῆς κεφαλῆς χρυσοῦν καὶ ἀμύκλας ἐν τοῖς

ποσὶ χαλκᾶς καὶ στέμματα Δελφικὰ ἐν ταῖς χερσὶν ἐπῄει τὰς πόλεις, δόξαν περὶ αὐτοῦ κατασχεῖν ὡς περὶ θεοῦ βουλόμενος. ἐπεὶ δὲ γηραιὸς ἐγένετο, νύκτωρ ἔρριψεν ἑαυτὸν εἰς κρατῆρα πυρός, ὥστε μὴ φανῆναι αὐτοῦ τὸ σῶμα. καὶ οὕτως ἀπώλετο, τοῦ σανδαλίου αὐτοῦ ἐκβρασθέντος ὑπὸ τοῦ πυρός. ἐπεκλήθη δὲ καὶ Κωλυσανέμας διὰ τὸ ἀνέμου πολλοῦ ἐπιθεμένου τῇ Ἀκράγαντι ἐξελάσαι αὐτόν, δορὰς ὄνων περιθέντα τῇ πόλει.] γέγονε δὲ τούτου μαθητὴς Γοργίας ὁ ῥήτωρ ὁ Λεοντῖνος. καὶ ἔγραψε δι' ἐπῶν περὶ φύσεως τῶν ὄντων βιβλία γ' (καὶ ἔστιν ἔπη ὡς δισχίλια), ἰατρικὰ καταλογάδην καὶ ἄλλα πολλά.

CCXLVI. *Ἐμπεδοκλῆς* θυγατριδοῦς τοῦ προτέρου, τραγικός. τραγῳδίαι αὐτοῦ κδ'.

CCXLVII. *Ἐμπεδότιμος.* οὗτος ἔγραψε περὶ φυσικῆς ἀκροάσεως. περὶ οὗ λέγει ὁ παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις »ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξεν ἱεροφάντης Ἰάμβλιχος.«

CCXLVIII. *Ἐπαφρόδιτος* Χαιρωνεὺς γραμματικός, Ἀρχι⟨βί⟩ου τοῦ Ἀλεξανδρέως γραμματικοῦ θρεπτός, παρ' ᾧ παιδευθεὶς ὠνήθη ὑπὸ Μοδέστου, ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ Πετηλῖνον ἐν Ῥώμῃ διέπρεψεν ἐπὶ Νέρωνος καὶ μέχρι Νέρβα, καθ' ὃν χρόνον καὶ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἦν καὶ ἄλλοι συχνοὶ τῶν ὀνομαστῶν ἐν παιδείᾳ. ὠνούμενος δὲ ἀεὶ βιβλία ἐκτήσατο μυριάδας τρεῖς, καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. τὸ δὲ σῶμα ἦν μέγας τε καὶ μέλας ὡς ἐλεφαντώδης, ᾤκει τε ἐν τοῖς καλουμένοις Φαινιανοχορίοις, δύο οἰκίας αὐτόθι κτησάμενος. ο' δὲ καὶ ε' ἔτος ἐτελεύτησεν ὑδέρῳ περιπεσών. συγγράμματα δὲ κατέλιπεν ἱκανά.

CCXLIX. *Ἐπιγένης* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἡρωίνη καὶ Μνημάτιον καὶ Βαχχεῖαι, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

CCL. *Ἐπίκουρος* Νεοκλέους Ἀθηναῖος, Γαργήττιος τῶν δήμων, μητρὸς Χαιρεστράτης. ἀδελφοὶ δὲ αὐτοῦ Νεοκλῆς, Χαιρέδημος, Ἀριστόβουλος ἢ Ἀριστόδημος. φιλοσοφίας δὲ ἤρξατο

ἀπὸ ἐνιαυτῶν ιβ', καὶ οἰκείαν αἵρεσιν εἰσηγήσατο, πρῶτον μὲν ἐν Σάμῳ διατρίψας σὺν τοῖς γονεῦσιν, εἶτα σχολαρχήσας ἐν Μιτυλήνῃ ἐνιαυτῶν ὢν . . . [ἦν], εἶτα ἐν Λαμψάκῳ, καὶ οὕτως ἐν Ἀθήναις ἐν ἰδίῳ κήπῳ, ἀκούσας δὲ Ναυσιφάνους τοῦ Δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ. γέγονε δὲ ἐπὶ τῆς ρθ' ὀλυμπιάδος, μετὰ ζ' ἐνιαυτοὺς τῆς Πλάτωνος τελευτῆς, καὶ παρέτεινεν ἐπὶ τῶν διαδόχων καὶ Ἀντιγόνου τοῦ Γονατᾶ ⟨κληθέντος⟩. καὶ διέμεινεν ἡ αὐτοῦ σχολὴ ἕως Καίσαρος τοῦ πρώτου ἔτη σκζ', ἐν οἷς διάδοχοι αὐτοῦ ἐγένοντο ιδ'. συγγράμματα δὲ αὐτοῦ πλεῖστα.

CCLI. Ἐπικράτης κωμικός. τῶν δραμάτων αὐτοῦ Ἔμπορος καὶ Ἀντιλαΐς.

CCLII. Ἐπίκτητος Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, δοῦλος Ἐπαφροδίτου τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε, καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου. ἔγραψε πολλά.

CCLIII. Ἐπίλυκος κωμικὸς ποιητής. τῶν δραμάτων αὐτοῦ ἐστι Κωραλίσκος, ὡς Ἀθήναιος.

CCLIV. Ἐπιμενίδης Φαίστου ἢ Δοσιάδου ἢ Ἀγησάρχου υἱός, καὶ μητρὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός, [οὗ λόγος ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι· τελευτήσαντος δὲ αὐτοῦ πόρρω χρόνων τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον]. γέγονε δὲ ἐπὶ τῆς λ' ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ' κληθέντων σοφῶν ἢ καὶ ἐπ' αὐτῶν γενέσθαι. οὗτος ἔζησεν ρν' ἔτη, τὰ δὲ ξ' ἐκαθεύδησεν. ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ' ὀλυμπιάδα, γηραιὸς ὤν. ἔγραψε δὲ πολλὰ ἐπικῶς, καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. πρὸς τοῦτον γράφει Σόλων ὁ νομοθέτης μεμφόμενος τῆς πόλεως κάθαρσιν. καὶ παροιμία 'τὸ Ἐπιμενίδειον δέρμα' ἐπὶ τῶν ἀποθέτων.

CCLV. Ἐπίνικος καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ὑποβαλλόμεναι, ὡς Ἀθήναιος.

CCLVI. Ἐπιφάνιος Οὐλπιανοῦ Πετραῖος σοφιστής, παι-

*δεύσας ἔν τε αὐτῇ καὶ ἐν Ἀθήναις. ἔγραψε περὶ κοινωνίας καὶ διαφορᾶς τῶν στάσεων, προγυμνάσματα, μελέτας, δημάρχους, πολεμαρχικόν, λόγους ἐπιδεικτικοὺς καί τινα σύμμικτα θεωρήματα.*

CCLVII. *Ἐπιφάνιος Κωνσταντείας τῆς Κύπρου ἐπίσκοπος, τῆς πρότερον Σαλαμίνης. ἔγραψε κατὰ πασῶν τῶν αἱρέσεων λόγους, ἃ πανάρια λέγονται, καὶ ἕτερα πολλά, ἅτινα παρὰ μὲν τῶν πεπαιδευμένων διὰ τὰ πράγματα, παρὰ δὲ τῶν ἰδιωτῶν διὰ τὰ ῥήματα ἀναγινώσκεται. τελευτᾷ ἐσχατογήρως.*

CCLVIII. *Ἐπίχαρμος Τιτύρου ἢ Χιμάρου καὶ Σηκίδος, Συρακούσιος ἢ ἐκ πόλεως Κραστοῦ τῶν Σικανῶν, ὃς εὗρε τὴν κωμῳδίαν ἐν Συρακούσαις ἅμα Φόρμῳ. ἐδίδαξε δὲ δράματα νβʹ, ὡς δὲ Λύκων φησί, λεʹ. τινὲς δὲ αὐτὸν Κῷον ἀνέγραψαν τῶν μετὰ Κάδμου εἰς Σικελίαν μετοικησάντων, ἄλλοι Σάμιον, ἄλλοι Μεγάρων τῶν ἐν Σικελίᾳ. ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ϛʹ διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλλος ἐπεδείκνυντο.*

CCLIX. *Ἐρασίστρατος Ἰουλιήτης ἀπὸ Ἰουλίδος, πόλεως Κέω τῆς νήσου. χρηματίζει οὖν Κήϊος, υἱὸς Κρητοξένης, τῆς Μηδίου τοῦ ἰατροῦ ἀδελφῆς, καὶ Κλεομβρότου. [οὗτος Ἀντίοχον τὸν βασιλέα νοσοῦντα ὑπὸ τοῦ τῆς μητρυιᾶς Στρατονίκης πόθου ἰάσατο, εὑρὼν τὸ πάθος ἐκ τοῦ σχεῖν τὴν χεῖρα ἐπὶ τὴν καρδίαν αὐτοῦ καὶ τὸν παλμὸν συνεικάσαι· ὁσάκις γὰρ ἔβλεπεν ὁ Ἀντίοχος τὴν μητρυιὰν αὐτοῦ τυχὸν διερχομένην, ἐπάλλετο τὴν καρδίαν μάλιστα τῷ ταύτης ἔρωτι.] τέθαπται δὲ πρὸς τῷ ὄρει τῇ Μυκάλῃ, καταντικρὺ Σάμου. ἔγραφεν ἰατρικὰ βιβλία θʹ.*

CCLX. *Ἐρατοσθένης Ἀγλαοῦ (οἱ δὲ Ἀμβροσίου) Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος ⟨τοῦ⟩ Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου, καὶ διέτριψε μέχρι τοῦ πέμπτου, διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσας βῆτα ἐπεκλήθη· οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πένταθλον ἐκάλεσαν. ἐτέχθη δὲ ρκϛʹ ὀλυμπιάδι, καὶ ἐτελεύτησεν πʹ ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλι-*

πῶν Ἀριστοφάνην τὸν Βυζάντιον, οὗ πάλιν Ἀρίσταρχος μαθητής. μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, ἀστρονομίαν ἢ καταστερισμούς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

CCLXI. Ἐρέννιος ὁ Φίλων ὁ Βύβλιος, ὁ Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησιν.

CCLXII. Ἔριφος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἴολος, Πελταστής, Μελίβοια, ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδʹ τῶν Δειπνοσφιστῶν.

CCLXIII. Ἑρμαγόρας Ἀμφιπολίτης φιλόσοφος, μαθητὴς Περσαίου. διάλογοι αὐτοῦ μισοκύων ἢ περὶ ἀτυχημάτων, ἔκχυτον (ἔστι δὲ ᾠοσκοπία), περὶ σοφιστείας πρὸς τοὺς Ἀκαδημαϊκούς.

CCLXIV. Ἑρμαγόρας ⟨ἐκ⟩ Τήμνου τῆς Αἰολίδος, ὁ ἐπικληθεὶς Καρίων, ῥήτωρ. τέχνας ῥητορικὰς ἐν βιβλίοις ϛʹ, περὶ ἐξεργασίας, περὶ πρέποντος, περὶ φράσεως, περὶ σχημάτων. ἐπαίδευσε δὲ οὗτος μετὰ Κεκιλίου ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Αὐγούστου καὶ τελευτᾷ πόρρω τῆς ἡλικίας.

CCLXV. Ἑρμείας φιλόσοφος, Ἀμμωνίου καὶ Ἡλιοδώρου, τῶν διδασκάλων Δαμασκίου, πατήρ. ἦν δὲ ὁ Ἑρμείας φίλος ἐς τὰ μάλιστα Αἰγύπτῳ ἀδελφῷ Θεοδότης, μητρὸς Ἰσιδώρου φιλοσόφου· ὁ δὲ Αἴγυπτος ἦν φιλομαθής.

CCLXVI. Ἑρμίας [ὁ εὐνοῦχος] ⟨φιλόσοφος,⟩ Ἀταρνεύς (χώρα δέ ἐστι Μυσίας τῆς ἐν Ἀσίᾳ τῆς πρὸς τῷ Ἑλλησπόντῳ), ἧς καὶ ἦρχε βασιλέως τοῦ Περσῶν ὑπήκοος, εὐνοῦχος καὶ δοῦλος γενόμενος Εὐβούλου Βιθυνοῦ δυνάστου καὶ φιλοσόφου, ἀσκηθεὶς παιδείαν παρὰ Ἀριστοτέλει. ἔγραψε περὶ ψυχῆς ὅτι ἀθάνατος.

CCLXVII. Ἕρμιππος Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἑτερόφθαλμος, ἀδελφὸς δὲ Μυρτίλου τοῦ κωμικοῦ, δράματα διδάξας μʹ.

CCLXVIII. Ἕρμιππος Βηρύτιος ἀπὸ κώμης μεσογαίου, μαθητὴς Φίλωνος τοῦ Βυβλίου, ὑφ' οὗ ᾠκειώθη Ἐρεννίῳ Σε-

βήρῳ, ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, ἔκδουλος ὢν γένος, λόγιος σφόδρα. καὶ ἔγραψε πολλά.

CCLXIX. Ἑρμογένης Ταρσεύς, ὁ ἐπίκλην ξυστήρ, σοφιστής, οὗ διήκουσε καὶ Μουσώνιος ὁ φιλόσοφος. γέγονε δὲ ἐπὶ Μάρκου τοῦ βασιλέως εὐφυέστατος, καὶ τῆς ἡλικίας αὐτοῦ ἐνδεεστέρας ὑπαρχούσης μᾶλλον ἡ φρόνησις ὑπερεῖχεν. ἀλλ' οὐκ εἰς μακρὸν ταύτης ἀπήλαυσε· γενόμενος γὰρ περὶ τὰ κδ' ἔτη ἐξέστη τῶν φρενῶν καὶ ἦν ἀλλοῖος αὐτοῦ, μηδεμιᾶς ἀφορμῆς γενομένης ἢ ἀρρωστίας τοῦ σώματος, ὥστε καί τινας ἀποσκώπτειν εἰς τουτονὶ τὸν τρισάθλιον τόδε τὸ λόγιον ‛Ἑρμογένης ὁ ἐν παισὶ γέρων, ἐν δὲ γέρουσι παῖς'. πλὴν περὶ τὸν ιη' ἢ κ' χρόνον γενόμενος γράφει ταῦτα τὰ βιβλία τὰ γέμοντα θαυμάτων· τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες, περὶ στάσεων βιβλίον ἕν, περὶ ἰδεῶν λόγου βιβλία β', | περὶ κοίλης Συρίας β' |.

CCLXX. Ἑρμόλαος γραμματικὸς Κωνσταντινουπόλεως, γράψας τὴν ἐπιτομὴν τῶν Ἐθνικῶν Στεφάνου γραμματικοῦ, προσφωνηθεῖσαν Ἰουστινιανῷ τῷ βασιλεῖ.

CCLXXI. Εὐάγγελος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀνακαλυπτόμενος, ὡς Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.

CCLXXII. Εὐαγόρας Λίνδιος ἱστορικός. ἔγραψε βίον Τιμαγένους καὶ ἑτέρων λογίων, ζητήσεις κατὰ στοιχεῖον Θουκυδίδου, τέχνην ῥητορικὴν ἐν βιβλίοις ε', τῶν παρὰ Θουκυδίδῃ ζητουμένων κατὰ λέξιν, ἱστορίαν τε περιέχουσαν τὰς Αἰγυπτίων βασιλείας.

CCLXXIII. Εὐάγριος. οὗτος ἔγραψε διάφορα, καὶ ὑπόμνημα εἰς τὰς παροιμίας Σολομῶντος.

CCLXXIV. Εὔβουλος Κήττιος Ἀθηναῖος, υἱὸς Εὐφράνορος, κωμικός. ἐδίδαξε δράματα ρδ', ἦν δὲ κατὰ τὴν ρα' ὀλυμπιάδα, μεθόριος τῆς μέσης κωμῳδίας καὶ τῆς παλαιᾶς.

CCLXXV. Εὐγαίων [ὄνομα κύριον] . . .

CCLXXVI. Εὐγένιος Τροφίμου, Αὐγουστοπόλεως τῆς ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει καὶ ⟨ἐς⟩ τὰ μάλιστα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὢν ἐπ' Ἀνα-

στασίου βασιλέως. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους, [καὶ] Εὐριπίδου ἀπὸ δραμάτων ιε', περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον, περὶ τῶν τεμενικῶν, ὅπως προφέρεται, οἷον Διονύσιον, Ἀσκληπιεῖον, παμμιγῆ λέξιν κατὰ στοιχεῖον (ἔχει δὲ καὶ τὰ παράδοξα ἢ περὶ τόνον ἢ πνεῦμα ἢ γραφὴν ἢ μῦθον ἢ παροιμίαν ἑπόμενα αὐτῇ), περὶ τῶν εἰς ια ληγόντων ὀνομάτων (οἷον ἔνδεια ἢ ἐνδία), καὶ πότε διφορεῖται, καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.

CCLXXVII. Εὐδαίμων Πηλουσιώτης γραμματικός, σύγχρονος Λιβανίου τοῦ σοφιστοῦ, πρὸς ὃν καὶ διαφόρως φαίνεται γράφων. οὗτος ἔγραψε ⟨εἰς⟩ ποιήματα διάφορα, τέχνην γραμματικήν, ὀνοματικὴν ὀρθογραφίαν.

CCLXXVIII. Εὔδημος ῥήτωρ. ἔγραψε διάφορα, καὶ κατὰ στοιχεῖον περὶ λέξεων, αἷς κέχρηνται ⟨οἱ⟩ ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ λογιώτατοι, πάνυ ὠφέλιμον.

CCLXXIX. Εὔδοξος Αἰσχίνου, Κνίδιος, φιλόσοφος, Πλάτωνος ἡλικιώτης, ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτίς, Δελφίς, Φιλτίς. καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς, ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου, καὶ ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν ἀστρονομίαν.

CCLXXX. Εὐθυκλῆς. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄσωτοι ἢ Ἐπιστολή, ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς.

CCLXXXI. Εὐκλείδης Μαγαρεύς (Μεγάρων δὲ τῶν ἐν τῷ Ἰσθμῷ), φιλόσοφος, γέγονε δὲ μαθητὴς Σωκράτους, [ὃς] καὶ τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρικὴν αἵρεσιν εἰσήγαγεν, ἣν δὴ καὶ διαλεκτικὴν καὶ ἐριστικὴν προσηγόρευσαν. μεθ' ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. συνέγραψε διαλόγους, Ἀλκιβιάδην, Αἰσχίνην, Κρίτωνα, Φοίνικα, Λαμπρίαν, Ἐρωτικὸν καὶ ἄλλα τινά.

CCLXXXII. Εὔμολπος Ἐλευσίνιος ἤτοι Ἀθηναῖος, υἱὸς Μουσαίου τοῦ ποιητοῦ, ὡς δέ τινες, μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ Πυθιονίκης· πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ

τὴν εἰς Κελεὸν ἄφιξιν καὶ τὴν τῶν μυστηρίων παράδοσιν τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια, χειροσκοπικὰ πεζῶς βιβλίον ἕν.

CCLXXXIII. Εὐοδιανὸς ὁ ῥήτωρ, Σμυρναῖος τὸ γένος, ἀκουστὴς Ἀριστοκλέους ἐγένετο, οἱ δὲ καὶ Πολέμωνος. ἔγραψε πανηγυρικὰ πλεῖστα ἐν Ῥώμῃ.

CCLXXXIV. Εὔοδος Ῥόδιος ἐποποιός, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται.

CCLXXXV. Εὔπολις Σωσιπόλιδος Ἀθηναῖος κωμικός, ὃς ιζ' ἔτη γεγονὼς ἤρξατο ἐπιδείκνυσθαι καὶ ἐδίδαξε ⟨μὲν⟩ δράματα ιζ', ἐνίκησε δὲ ζ'. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ· καὶ ἐκ τούτου ἐκωλύθη στρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτοῦ Αἶγες, Ἀστράτευτοι ἢ Ἀνδρόγυνοι καὶ ἄλλα.

CCLXXXVI. Εὐριπίδης Ἀθηναῖος τραγικός, πρεσβύτερος τοῦ ἐνδόξου γενομένου. ἐδίδαξε δράματα ιβ', εἷλε δὲ νίκας β'.

CCLXXXVII. Εὐριπίδης τραγικός, τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν τοῖς Χρονικοῖς. ἔγραψε δὲ Ὁμηρικὴν ἔκδοσιν, εἰ μὴ ἄρα ἑτέρου ἐστί. δράματα αὐτοῦ ταῦτα· Ὀρέστης, Μήδεια, Πολυξένη.

CCLXXXVIII. Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. [ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρός, καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας, ὅθεν καὶ μισογύνης ἐδό-

ξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην, ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ, πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον, ι' μνῶν ἀγορασθέντα, τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας. οἱ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναί ⟨φασιν⟩ αὐτὸν οε', καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα]. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε', κατὰ δὲ ἄλλους ϛβ', σώζονται δὲ οζ'. νίκας δὲ ἀνείλετο ε', τὰς μὲν δ' περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς μβ'. καὶ τελευτᾷ ἐπὶ τῆς ϛγ' ὀλυμπιάδος.

CCLXXXIX. *Εὐσέβιος* Ἀράβιος σοφιστής, ἀντισοφιστεύσας καὶ αὐτὸς Οὐλπιανῷ.

CCXC. *Εὐσέβιος* ὁ Παμφίλου, προσκείμενος τῇ Ἀρειανικῇ αἱρέσει, ἐπίσκοπος Καισαρείας τῆς Παλαιστίνης, σπουδαῖος ἐν ταῖς θείαις γραφαῖς, καὶ τῆς θείας βιβλιοθήκης ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰσι τάδε· εὐαγγελικῆς ἀποδείξεως λόγοι κ', εὐαγγελικῆς προπαρασκευῆς λόγοι ιε', θεοφανείας λόγοι ε', ἐκκλησιαστικῆς ἱστορίας λόγοι ι', χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. καὶ περὶ τῆς τῶν εὐαγγελίων διαφωνίας, εἰς τὸν προφήτην Ἡσαΐαν λόγοι ι', κατὰ Πορφυρίου τοῦ τότε συγγράφοντος ἐν Σικελίᾳ, ὥς τινες οἴονται, λόγοι λ', τοπικῶν λόγος α', ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ϛ', περὶ τοῦ βίου Παμφίλου λόγοι γ', περὶ μαρτύρων ἕτερα συγγράμματα, καὶ εἰς τοὺς ρν' ψαλμοὺς δεδοκιμασμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως καὶ Κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς Πάμφιλον τὸν μάρτυρα τῆς ἐπωνυμίας αὐτοῦ ἠξιώθη.

CCXCI. *Εὐστάθιος* Ἐπιφανεύς. χρονικὴν ἐπιτομὴν τῶν

*ἀπὸ Αἰνείου μέχρις Ἀναστασίου βασιλέως ἐν τόμοις θ' καὶ ἄλλα τινά.*

CCXCII. *Εὐστέφιος Ἀφροδισιεὺς σοφιστὴς . . . ἐπιφανίων τῶν ἐν Ἀδρόττοις τῷ εὐκτηρίῳ, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε μελέτας.*

CCXCIII. *Εὐστόχιος Καππαδόκης σοφιστής. ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα καὶ ἀρχαιολογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν.*

CCXCIV. *Εὔσχημος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἐμπολή, ὡς Ἀθήναιος λέγει.*

CCXCV. *Εὐτρόπιος Ἰταλὸς σοφιστής. τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐπιτομικῶς τῇ Ἰταλῶν φωνῇ. ἔγραψε καὶ ἄλλα.*

CCXCVI. *Εὐφορίων υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθηναῖος, τραγικὸς καὶ αὐτός, ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.*

CCXCVII. *Εὐφορίων Πολυμνήστου, Χαλκιδεὺς ἀπὸ Εὐβοίας, μαθητὴς ἐν τοῖς φιλοσόφοις Λακύδου καὶ Πρυτάνιδος καὶ ἐν τοῖς ποιητικοῖς Ἀρχεβούλου τοῦ Θηραίου ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. ἐγεννήθη δὲ ἐν τῇ ρκϛ' ὀλυμπιάδι, ὅτε καὶ Πύρρος ἡττήθη ὑπὸ Ῥωμαίων, καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους, πολύσαρκος, κακοσκελής. τῆς Ἀλεξάνδρου τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατεροῦ, γυναικὸς Νικαίας στερξάσης αὐτόν, εὔπορος σφόδρα γεγονὼς ἦλθε πρὸς Ἀντίοχον τὸν μέγαν ἐν Συρίᾳ βασιλεύοντα, καὶ προέστη ὑπ' αὐτοῦ τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης. καὶ τελευτήσας ἐκεῖ⟨σε⟩ τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες ἐν Ἀντιοχείᾳ. βιβλία δὲ αὐτοῦ ἐπικὰ ταῦτα· Ἡσίοδος, Μοψοπία ἢ Ἄτακτα (ἔχει γὰρ συμμιγεῖς ἱστορίας, Μοψοπία δὲ ὅτι ἡ Ἀττικὴ τὸ πρὶν Μοψοπία ἐκαλεῖτο ἀπὸ τῆς Ὠκεανοῦ θυγατρὸς Μοψοπίας, καὶ ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικήν) χιλιάδες (ἔχει δὲ ὑπόθεσιν εἰς τοὺς ἀποστερήσαντας αὐτὸν χρήματα ἃ παρέθετο [ὡς δίκην δοῖεν κἂν εἰς μακράν,] εἶτα συνάγει διὰ χιλίων ἐπῶν χρησμοὺς ἀποτελεσθέντας), εἰσὶ δὲ βιβλία ε'. ἐπιγράφεται δὲ ἡ πέμπτη χιλιὰς περὶ χρησμῶν, ὡς διὰ χιλίων ἐπῶν ἀποτελοῦνται.*

CCXCVIII. *Εὔφρων κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἶσχρα, Μοῦσαι, Συνέφηβοι, Θεωροί, ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφισταῖς.*

CCXCIX. *Ἔφιππος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας.*

CCC. *Ἔφορος Κυμαῖος, υἱὸς Δημοφίλου, οἱ δὲ Ἀντιόχου, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος, ἱστορικός· ἔσχε δὲ υἱὸν Δημόφιλον τὸν ἱστορικόν. ἦν δὲ ἐπὶ τῆς ϛγ΄ ὀλυμπιάδος, ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος. ἔγραψε ⟨τὰ⟩ ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωικῶν μέχρι τῶν αὐτοῦ χρόνων βιβλία λ΄, περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδ΄, παραδόξων τῶν ἑκασταχοῦ βιβλία ιε΄, εὑρημάτων ὧν ἕκαστος εὗρε βιβλία β΄, καὶ ⟨τὰ⟩ λοιπά.*

CCCI^a. *Ἔφορος Κυμαῖος ἱστορικός, ὁ νεώτερος. ἔγραψε τὰς Γαληνοῦ ἱστορίας ἐν βιβλίους κζ΄, | Κορινθιακά, περὶ τῶν Ἀλευαδῶν καὶ ἄλλα. |*

CCCI^b. *Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιστράτου Χῖος, ἄμφω Ἰσοκράτους μαθηταί, ἀπ' ἐναντίων τό τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι· ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς, τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν, ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστός, φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου. φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος, ἐπέστελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ. καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά, λέγεται καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.*

CCCI^c. *Ζάλευκος Λοκρὸς ἐκ Θουρίου, Πυθαγόρειος φιλόσοφος καὶ νομοθέτης, ὃς τελευτᾷ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος. ἦν δὲ οὗτος πρότερον δοῦλός τε καὶ ποιμὴν καὶ ἐκπαιδευθεὶς νόμους ἔθετο τοῖς ἑαυτοῦ πολίταις· ἐν οἷς καὶ τὸ προιούσας ἐπ' ἀγορᾶς τὰς γυναῖκας τὴν μὲν ἐλευθέραν λευχείμονα μετὰ οἰκείων, παιδίσκην μίαν ἔχουσαν, τὰς δὲ ἄλλας ἐν ἀνθιναῖς.*

CCCII. *Ζηνόβιος σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν ἐπιτομὴν τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις γ΄, μετάφρασιν Ἑλληνικῶς τῶν ἱστοριῶν Σαλουστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλου-*

μένων αὐτοῦ Βέλλων, γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα, καὶ ἄλλα.

CCCIII. Ζηνόδοτος Ἐφέσιος, ἐποποιός, καὶ γραμματικός, μαθητὴς τοῦ Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔστη καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.

CCCIV. Ζηνόδοτος Ἀλεξανδρεὺς γραμματικός, ὁ ἐν ἄστει κληθείς. πρὸς τὰ ὑπ' Ἀριστάρχου ἀθετούμενα τοῦ ποιητοῦ [ἔγραψε], πρὸς Πλάτωνα περὶ θεῶν, περὶ τῆς Ὁμηρικῆς συνηθείας, λύσεις Ὁμηρικῶν ἀπορημάτων, εἰς τὴν Ἡσιόδου θεογονίαν καὶ ἄλλα συχνά.

CCCV. Ζήνων Τελευταγόρου Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους (ἦν γὰρ ἐπὶ τῆς οη' ὀλυμπιάδος), μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν ἔριδας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους, πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα) τὸν Ἐλέας τύραννον ἑάλω, καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὐτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ, καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.

CCCVI. Ζήνων Μουσαίου Σιδώνιος, φιλόσοφος Στωικός, μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

CCCVII. Ζήνων Μνασέου ἢ Δημέου, Κιτιεύς (πόλις δέ ἐστι Κύπρου τὸ Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς Στωικῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ πρῶτος Στωικὸς διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρώην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ϛ, ἀφελὼν ἑκάστοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. [ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων.]

Φοῖνιξ δ' ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς ρκε' ὀλυμπιάδος. καὶ παροιμία 'Ζήνωνος ἐγκρατέστερος'· οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. 'φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει'· τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. κατέστρεψε δὲ τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

CCCVIII. Ζήνων Διοσκορίδου Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωικοῦ, καὶ διάδοχος.

CCCIX. Ζήνων [Κιτιεύς]. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ στάσεων, περὶ σχημάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, περὶ ἐπιχειρημάτων.

CCCX. Ζωίλος Ἀμφιπολίτης (πόλις δ' ἐστὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρότερον ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον· διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόσοφος. ἔγραψε μέντοι τινὰ καὶ γραμματικά, κατὰ τῆς Ὁμήρου ποιήσεως λόγους θ', ἱστορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς βιβλία γ', περὶ Ἀμφιπόλεως καὶ κατὰ Ἰσοκράτους τοῦ ῥήτορος καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ ψόγος Ὁμήρου.

CCCXI. Ζωναῖος. ἔγραψεν ἐρωτικὰς ἐπιστολὰς καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.

CCCXII. Ζωροάστρης Περσόμηδος σοφός, ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων· ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ', περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε'.

CCCXIII. Ζωρομάσδρης Χαλδαῖος σοφός. ἔγραψε μαθηματικὰ καὶ φυσικά.

CCCXIV. Ζώσιμος Ἀλεξανδρεὺς φιλόσοφος. Χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφὴν (ἔστι δὲ κατὰ στοιχεῖον ἐν βι-

βλίοις κη', ἐπιγράφεται δὲ ὑπό τινων Χειρόκμητα), καὶ ὁ Πλάτωνος βίος.

CCCXV. Ζώσιμος Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστής, κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ βασιλέως. ἔγραψε λέξιν ῥητορικὴν κατὰ στοιχεῖον καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

CCCXVI. Ἡγήμων ὁ Θάσιος, ὁ ἐπικληθεὶς Φακῆ. τῶν δραμάτων αὐτοῦ ἐστι Φίλιννα, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

CCCXVII. Ἡγήσιππος. [οὗτός ἐστιν ὁ Κρωβύλος ἐπικαλούμενος, οὗ δοκεῖ τισιν εἶναι ὁ ζ' Φιλιππικὸς Δημοσθένους ἐπιγραφόμενος]. τῶν δραμάτων αὐτοῦ ἐστι Φιλέταιρος, ὡς Ἀθήναιος.

CCCXVIII. Ἡνίοχος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔστι τῶν δραμάτων αὐτοῦ τάδε· Τροχίλος, Ἐπίκληρος, Γοργόνες, Πολυπράγμων, Θωρυκίων, Πολύευκτος, Φιλέταιρος, Δὶς ἐξαπατώμενος.

CCCXIX. Ἡρακλείδης Εὐ⟨θύ⟩φρονος φιλόσοφος, Ἡρακλείας τῆς Πόντου, τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος. ἐκδημήσαντος δὲ Πλάτωνος εἰς Σικελίαν προεστάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα, ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνόμισαν, ἄλλοι δὲ ἐν φρέατι αὑτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.

CCCXX. Ἡρακλείδης Ὀξυρυγχίτης φιλόσοφος, ὁ τοῦ Σαραπίωνος, ὃς ἐπεκλήθη Λέμβος, γεγονὼς ἐπὶ Πτολεμαίου τοῦ ἕκτου, ὃς τὰς πρὸς Ἀντίοχον ἔθετο συνθήκας. ἔγραψε φιλόσοφα καὶ ἄλλα.

CCCXXI. Ἡρακλείδης Ποντικός, ἀπὸ Ἡρακλείας τῆς Πόντου, γραμματικός, ὅστις Διδύμῳ τῷ πάνυ κατὰ τὴν Ἀλεξαν-

δρέων ἐφοίτησεν. οὗτος ἐπειδὴ ἤκουσεν Ἄπερος τοῦ Ἀριστάρχου μαθητοῦ εὐδοκιμοῦντος κατὰ τὴν Ῥώμην πολλά τε τὸν Δίδυμον διασύροντος, ἔγραψε μέτρῳ Σαπφικῷ ἤτοι Φαλαικείῳ βιβλία γ' δυσερμήνευτα καὶ πολλὴν τὴν ἀπορίαν ἔχοντα προβαλλομένων ζητημάτων, ἅτινα Λέσχας ἐκάλεσεν, εἰς Ῥώμην δὲ κομίσας καὶ τοῦ Ἄπερος καταφανεὶς κατέμεινε σχολαρχῶν ἐν αὐτῇ ἐπὶ Κλαυδίου καὶ Νέρωνος. ἔγραψε δὲ καὶ ποιήματα ἐπικὰ πολλά.

CCCXXII. Ἡράκλειτος Βλύσωνος ἢ Βάκτωρος, οἱ δὲ Ὡρακίνου, Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη σκοτεινός. οὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς ᾗπερ ἐβούλοντο θεραπεύειν αὐτόν, ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τοῦτο ὑπὸ τοῦ ἡλίου, καὶ κείμενον αὐτὸν κύνες προσελθοῦσαι διέσπασαν. οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφάνους καὶ Ἱππάσου τοῦ Πυθαγορείου. ἦν δὲ ἐπὶ τῆς ξθ' ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑστάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς.

CCCXXIII. Ἡρακλέων Αἰγύπτιος, ἀπὸ κώμης Τιλώτεως οὔσης ὑπὸ τῇ Ἡρακλέους πόλει, γραμματικός. ἐπαίδευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον κατὰ ῥαψῳδίαν, καὶ εἰς τοὺς λυρικούς, περὶ τῶν παρ' Ὁμήρῳ προστακτικῶν ῥημάτων.

CCCXXIV. Ἤριννα Τηνία ἢ Λεσβία, ὡς δὲ ἄλλοι, Τηλία (Τῆλος δέ ἐστι νησίδιον ἐγγὺς Κνίδου), τινὲς δὲ καὶ Ῥοδίαν αὐτὴν ἐδόξασαν. ἦν δὲ ἐποποιός. ἔγραψεν Ἠλακάτην (ποίημα δέ ἐστιν Αἰολικῇ καὶ Δωρίδι διαλέκτῳ, ἐπῶν τ'). ἐποίησε δὲ καὶ ἐπιγράμματα. τελευτᾷ παρθένος ἐννεακαιδεκέτις. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἴσοι Ὁμήρῳ. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ὁμόχρονος.

CCCXXV. Ἡρόδοτος Λύξου καὶ Δρυοῦς Ἁλικαρνασσεὺς τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ. Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας,

τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. [ἐν οὖν τῇ Σάμῳ καὶ τὴν ἰάδα ἠσκήθη διάλεκτον, καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ', ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως]. ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε, κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι.

CCCXXVI. Ἡροφίλα ἡ καὶ Σίβυλλα Ἐρυθραία, Θεοδώρου θυγάτηρ. ἔγραψε βιβλία γ', μαντικὰ ἐπικῶς, καὶ ἦλθεν εἰς Ῥώμην ἐν τοῖς χρόνοις τῶν ὑπάτων, ἄλλοι δὲ Ταρκυνίου, δοκοῦσα χρηματισθήσεσθαι δι' αὐτῶν. ὡς δὲ κατεφρονήθη, τὰς β' κατέκαυσε βίβλους, ἃς καὶ ἔτυχεν ἐπιφερομένη. περιεσώθη δὲ ἡ λοιπὴ μία, ἥτις καὶ παρὰ τῶν Ῥωμαίων ἐξωνήθη πολλοῦ τιμήματος.

CCCXXVII. Ἡρώδης Ἰούλιος χρηματίσας, υἱὸς Ἀττικοῦ τοῦ Πλουτάρχου, γένος Αἰακίδης, Ἀθηναῖος, τῶν δήμων Μαραθώνιος, σοφιστής, πλούσιος ἐκ θησαυροῦ γενόμενος σφόδρα, ὥστε καὶ στάδιον κατεσκευάσατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. ἦρξε τῆς Ἀσίας ὁ αὐτοῦ πατὴρ καὶ τοῖς δισυπάτοις συγκατελέχθη. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ καὶ Μάρκου Ἀντωνίνου τῶν αὐτοκρατόρων, διδαχθεὶς ὑπὸ Φαβωρίνῳ καὶ Πολέμωνι, καὶ ἔγραψεν ἐφημερίδας, σύγγραμμα πολυμαθὲς καὶ ἐπιστολὰς καὶ λόγους αὐτοσχεδίους, ὧν μέμνηται Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. διεδέξατο δὲ αὐτοῦ τὴν σχολὴν Ἀδριανὸς ὁ σοφιστής. σύγχρονος δὲ ἦν Ἡρώδης Ἀριστείδῃ τῷ σοφιστῇ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα πλεῖστα, ἐν οἷς τὸ μεγαλοφυὲς καὶ ὑφίνουν τοῦδε τοῦ ἀνδρὸς κατανοεῖται καὶ δειάκνυται. τελευτᾷ δὲ ἀμφὶ τὰ ς' καὶ ο' ἔτη, ξυνταχὴς γενόμενος.

CCCXXVIII. Ἡρωδιανὸς Ἀλεξανδρεὺς γραμματικός, υἱὸς Ἀπολλωνίου τοῦ γραμματικοῦ τοῦ ἐπικληθέντος Δυσκόλου. γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν μουσικὴν ἱστορίαν γράψαντος καὶ Φίλωνος τοῦ Βυβλίου. ἔγραψε πολλά.

CCCXXIX. *Ἥρων Κότυος Ἀθηναῖος, ῥήτωρ, τὰς ἐν Ἀθήναις δίκας γεγραφώς, εἶτα ἐξήγησιν Δεινάρχου, ὑπομνήματα εἰς Ἡρόδοτον, Ξενοφῶντα, Θουκυδίδην, κεκριμένων ὀνομάτων βιβλία γ', ἐπιτομὴν τῶν Ἡρακλείδου ἱστοριῶν, περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων, οἷς ἐνίκησαν πρὸς ἀλλήλους ἀγωνιζόμενοι.*

*ὅτι Ἥρωνι ἐπέτρεψεν ἑαυτὸν ὁ Πρόκλος, ἀνδρὶ θεοσεβεῖ καὶ τελείαν παρασκευὴν ἐσχηκότι τῶν κατὰ τὴν παίδευσιν ὁδῶν, Ἀλεξανδρεῖ.*

CCCXXX. *Ἡσίοδος Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου τοῦ Ἀπέλλιδος τοῦ Μελανώπου, ὅν φασί τινες τοῦ Ὁμήρου προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τοῦ Ἄτλαντος κατάγεσθαι. ποιήματα δὲ αὐτοῦ ταῦτα· Θεογονία, Ἔργα καὶ Ἡμέραι, Ἀσπίς, Γυναικῶν ἡρωινῶν κατάλογος ἐν βιβλίοις ε', ἐπικήδειον εἰς Βάτραχόν τινα ἐρώμενον αὐτοῦ, περὶ τῶν Ἰδαίων Δακτύλων καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ' Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος. Πορφύριος ⟨δὲ⟩ καὶ ἄλλοι πλεῖστοι νεώτερον ρ' ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λβ' μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης ὀλυμπιάδος.*

CCCXXXI. *Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως. ἔγραψεν Ὀνοματολόγον ἢ πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον, καὶ χρονικὴν ἱστορίαν, ἥντινα διεῖλεν εἰς ἓξ διαστήματα (οὕτω γὰρ καλεῖ ἕκαστον βιβλίον), ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας Ἀναστασίου τοῦ ἐπονομαζομένου Δικόρου. εἰς δὲ τὸν πίνακα τῶν ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει, ὡς ἐκ τούτου ὑπόνοιαν παρέχειν μὴ εἶναι αὐτὸν χριστιανόν, ἀλλὰ τῆς Ἑλληνικῆς ματαιότητος ἀνάπλεων.*

CCCXXXII. *Ἡφαιστίων Ἀλεξανδρεὺς γραμματικός.*

ἔγραψεν ἐγχειρίδιον περὶ μέτρων καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, τραγικῶν λύσεων καὶ ἄλλα πλεῖστα καὶ τῶν μέτρων τοὺς ποδισμούς.

CCCXXXIII. *Θαλῆς* Ἐξαμύου καὶ Κλεοβουλίνης, Μιλήσιος, ὡς δὲ Ἡρόδοτος, Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε′ ὀλυμπιάδος, κατὰ δὲ Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς ζ′. ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύματος. πρῶτος δὲ Θαλῆς τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα, καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα, καὶ τὸ θρυλούμενον 'γνῶθι σαυτόν·' τὸ γὰρ 'ἐγγύα, πάρα δ' ἄτα' Χίλωνός ἐστι μᾶλλον, ἰδιοποιησαμένου αὐτὸ τὸ 'μηδὲν ἄγαν.'

CCCXXXIV. *Θαλήτας* Κρὴς Ἐλύριος, λυρικός, γεγονὼς πρὸ Ὁμήρου. μέλη.

CCCXXXV. *Θαλήτας* Κνώσσιος, ῥαψῳδός. ποιήματά τινα μυθικά.

CCCXXXVI. *Θάμυρις* ἢ *Θαμύρας*, Θρᾷξ ἐξ Ἠδωνῶν τῆς ἐν Βρίγοις πόλεως, οἱ δὲ ἀπὸ Ὀδρύσης, υἱὸς Φιλάμμωνος καὶ Ἀρσυόης, ἐποποιὸς ὄγδοος πρὸ Ὁμήρου, κατὰ δὲ ἄλλους πέμπτος. οὗτος ὁ Θάμυρις, ἐπειδὴ εἰς τὰς Μούσας ὕβρισεν, ἐπηρώθη. φέρεται δὲ αὐτοῦ θεολογία εἰς ἔπη ,γ. καὶ πρῶτος ἠράσθη παιδὸς Ὑμεναίου τοὔνομα, υἱοῦ Καλλιόπης καὶ Μάγνητος· οἱ δὲ Κρῆτά φασί τινα Τάλωνα Ῥαδαμάνθυος ἐρασθῆναι· οἱ δὲ Λάϊόν φασιν ἐρασθῆναι πρώτου Χρυσίππου τοῦ Πέλοπος υἱοῦ· οἱ δὲ Ἰταλιώτας πρώτους κατ' ἀνάγκην στρατείας εὑρέσθαι τοῦτο. κατὰ δὲ ἀλήθειαν αὐτὸς ὁ Ζεὺς πρῶτος ἠράσθη Γανυμήδους.

CCCXXXVII. *Θεαίτητος* Ἀθηναῖος ἀστρολόγος, φιλόσοφος, μαθητὴς Σωκράτους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. γέγονε δὲ μετὰ τὰ Πελοποννησιακά. πρῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε.

CCCXXXVIII. *Θεαίτητος* Ἡρακλείας Πόντου, φιλόσοφος, ἀκροατὴς Πλάτωνος.

CCCXXXIX. *Θεανὼ* Μεταποντίνη ἢ Θουρία, Πυθαγορεία, θυγάτηρ Λεώφρονος, γαμετὴ δὲ Καρύστου ἢ Κρότωνος

ἢ Βρωτίνου τοῦ Πυθαγορείου. αὕτη ἔγραψε περὶ Πυθαγόρου, περὶ ἀρετῆς Ἱπποδάμῳ Θουρίῳ, παραινέσεις γυναικείας καὶ ἀποφθέγματα Πυθαγορείων.

CCCXL. Θεανὼ Κρῆσσα φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρου, ἐξ οὗ ἔσχε Τηλαύγην καὶ Μνήσαρχον καὶ Μυῖαν καὶ Ἀριγνώτην. τινὲς δὲ Βρωτίνου γυναῖκα γράφουσι καὶ τὸ γένος Κροτωνιᾶτιν. ὑπομνήματα φιλόσοφα καὶ ἀποφθέγματα καὶ ποίημά τι δι' ἐπῶν.

CCCXLI. Θεανὼ Λοκρὶς λυρική. ᾄσματα Λοκρικὰ καὶ μέλη.

CCCXLII. Θεμίστιος φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου, ὑφ' οὗ καὶ ὕπαρχος προεβλήθη Κωνσταντινουπόλεως. γέγραφε τῆς Ἀριστοτέλους φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η', παράφρασιν τῶν ἀναλυτικῶν ἐν βιβλίοις β', τῶν ἀποδεικτικῶν ἐν βιβλίοις β', τοῦ περὶ ψυχῆς ἐν βιβλίοις ζ' (ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς), τῶν κατηγοριῶν ἐν βιβλίῳ α' καὶ διαλέξεις.

CCCXLIII. Θεμιστογένης Συρακούσιος ἱστορικός. Κύρου Ἀνάβασιν, ἥτις ἐν τοῖς Ξενοφῶντος φέρεται, καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

CCCXLIV. Θεμιστοκλῆς Ἀθηναῖος δημαγωγός, Νεοκλέους υἱός, ἄσωτος τὴν πρώτην ἡλικίαν γενόμενος, μετὰ δὲ ταῦτα στρατηγὸς αἱρεθείς, καὶ κτίσας τὸν Πειραιᾶ, καὶ ναυμαχίᾳ νικήσας τοὺς Πέρσας κατὰ Σαλαμῖνα, καὶ φθονηθεὶς φεύγει πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα, καὶ σφόδρα τιμηθεὶς ὑπ' αὐτοῦ ἠναγκάζετο μετὰ ταῦτα τοῖς Ἕλλησι πολεμεῖν, καὶ μὴ βουληθεὶς προδοῦναι τὴν πατρίδα καὶ τὸ ἑαυτοῦ κλέος ταύρειον αἷμα πιὼν ἀπώλετο. ἔγραψεν ἐπιστολὰς φρονήματος γεμούσας.

CCCXLV. Θεόγνητος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φάσμα ἢ Φιλάργυρος, Φιλοδέσποτος, Κένταυρος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

CCCXLVI. Θέογνις Μεγαρεὺς τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ νθ' ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τοὺς

σωθέντας ἐν τῇ πολιορκίᾳ τῶν Συρακουσῶν, γνώμας δι᾽ ἐλεγείας εἰς ἔπη ‚βω', καὶ πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον γνωμολογίαν δι᾽ ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς, τὰ πάντα ἐπικῶς.

ὅτι μὲν παραινέσεις ἔγραψε Θέογνις, ἀλλ᾽ ἐν μέσῳ τούτων παρεσπαρμέναι μιαρίαι καὶ παιδικοὶ ἔρωτες καὶ ἄλλα ὅσα ὁ ἐνάρετος ἀποστρέφεται βίος.

CCCXLVII. Θεοδέκτης Ἀριστάνδρου, Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγῳδίας, μαθητὴς Πλάτωνος καὶ Ἰσοκράτους καὶ Ἀριστοτέλους. οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ ὁ Ἀπολλωνιάτης καὶ Θεόπομπος ἐπὶ τῆς ρζ' ὀλυμπιάδος εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλῳ, Ἀρτεμισίας τῆς γυναικὸς αὐτοῦ προτρεψαμένης, καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ᾗ εἶπε τραγῳδίᾳ· ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα. δράματα δὲ ἐδίδαξε ν'. τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν α' καὶ μ', ἔτι τοῦ πατρὸς αὐτοῦ περιόντος. ἔγραψε δὲ καὶ τέχνην ῥητορικὴν ἐν μέτρῳ καὶ ἄλλα τινὰ καταλογάδην.

CCCXLVIII. Θεοδέκτης Φασηλίτης ῥήτωρ, υἱὸς τοῦ προτέρου. ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου, ἱστορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, | τέχνην ῥητορικὴν ἐν βιβλίοις ζ' | καὶ ἄλλα πολλὰ ὑπομνήματα.

CCCXLIX. Θεοδόσιος φιλόσοφος. ἔγραψε σφαιρικὰ ἐν βιβλίοις γ', ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια, περὶ ἡμερῶν καὶ νυκτῶν β', ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον, διαγραφὰς οἰκιῶν ἐν βιβλίοις γ', σκεπτικὰ κεφάλαια, ἀστρολογικά, περὶ οἰκήσεων.

CCCL. Θεοδόσιος. ἔγραψε δι᾽ ἐπῶν εἰς τὸ ἔαρ καὶ ἕτερα διάφορα. ἦν δὲ Τριπολίτης.

CCCLI. Θεόδωρος ὁ ἐπίκλην Ἄθεος, ὃς ἠκροάσατο Ζήνωνος τοῦ Κιτιέως, διήκουσε δὲ καὶ Βρύσωνος καὶ Πύρρωνος τοῦ ἐφεκτικοῦ, ἀδιαφορίαν δοξάζων καὶ παραδιδούς. αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. οὗτος ἔγραψε πολλὰ συντείνοντα εἰς τὴν οἰκείαν αἵρεσιν καὶ ἄλλα τινά. οὗτος εἶπε πρὸς Ἱππαρχίαν τὴν γυναῖκα Κράτητος 'αὕτη ἐστὶν ἡ τὰς πρὸς ἱστοὺς ἐκλιποῦσα κερκίδας καὶ τρίβωνα φοροῦσα'.

CCCLII. Θεόδωρος ἀπὸ ἀναγνωστῶν τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως. ἔγραψεν ἱστορίαν ἐκκλησιαστικὴν ἀπὸ τῶν χρόνων Κωνσταντίνου ἕως τῆς βασιλείας Ἰουστινιανοῦ.

CCCLIII. Θεόδωρος Βυζάντιος σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου καὶ ἄλλα τινά.

CCCLIV. Θεόδωρος Γαδαρεὺς σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος ⟨ἐπειδὴ⟩ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ ἐν αὐτῇ τῇ Ῥώμῃ. ἐπὶ Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο. βιβλία δὲ ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων γ', περὶ ἱστορίας α', περὶ θέσεως α', περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β', περὶ πολιτείας β', περὶ κοίλης Συρίας α', περὶ ῥήτορος δυνάμεως α' καὶ ἄλλα.

CCCLV. Θεόδωρος ποιητής, ὃς ἔγραψε διάφορα [δι' ἐπῶν] καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

CCCLVI. Θεόκριτος Χῖος ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ. ἔγραψε Χρείας, ἀντεπολιτεύσατο δὲ Θεοπόμπῳ τῷ ἱστορικῷ. φέρεται αὐτοῦ ἱστορία Λιβύης καὶ ἐπιστολαὶ θαυμάσιαι.

CCCLVII. Ἔστι καὶ ἕτερος Θεόκριτος, Πραξαγόρου καὶ Φιλίννης (οἱ δὲ Σιμμίχου), Συρακούσιος, οἱ δέ φασι Κῷον, μετῴκησε δὲ ἐν Συρακούσαις. οὗτος ἔγραψε τὰ καλούμενα Βουκολικὰ ἔπη δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα· Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωίνας, ἐπικήδεια μέλη, ἐλεγείας, ἰάμβους, ἐπιγράμματα. ἰστέον δέ, ὅτι τρεῖς γεγόνασι βουκολικῶν ἐπῶν ποιηταί, Θεόκριτος οὑτοσί, Μόσχος Σικελιώτης καὶ Βίων ὁ Σμυρναῖος, ἔκ τινος χωριδίου καλουμένου Φλώσσης.

CCCLVIII. Θεόπομπος Θεοδέκτου ἢ Θεοδώρου, Ἀθηναῖος κωμικός, ἐδίδαξε δράματα κδ'. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην. δράματα δὲ αὐτοῦ εἰσι καὶ ἄλλα πολλά.

CCCLIX. Θεόπομπος Χῖος ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ἀναρχίαν Ἀθηναίων, ἐπὶ τῆς ϟγ'

ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν βιβλίοις β', Φιλιππικὰ ἐν βιβλίοις οβ', Ἑλληνικὰς ἱστορίας (ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καί εἰσιν ἐν βιβλίοις ια', ἔχουσαι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ ⟨τὰ⟩ λοιπά). ἔγραψε καὶ ἕτερα πλεῖστα.

CCCLX. *Θεόφιλος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἰατρός, Ἐπιδαύριος, Παγκρατιαστής, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.

CCCLXI. *Θεόφραστος* Μελάντα γναφέως, οἱ δὲ Λέοντος, ἀπὸ Ἐρεσσοῦ, ἀκουστὴς Ἀριστοτέλους καὶ διάδοχος τῆς σχολῆς τῆς ἐν τῷ περιπάτῳ ὑπ' αὐτοῦ καταλειφθείσης εἰς Χαλκίδα ἐκδημήσαντος. οὗτος πρότερον ἐκαλεῖτο Τύρταμος, διὰ δὲ τὸ θείως φράζειν ὑπ' Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος, ὥσπερ Πλάτων διὰ τὸ ἐν τοῖς λόγοις πλάτος τοῦτο ἐπωνομάσθη, πρότερον καλούμενος Ἀριστοκλῆς. μαθητὰς δὲ ἔσχε πλεῖον ἢ δισχιλίους, ἐρώμενον δὲ τὸν Ἀριστοτέλους υἱὸν τοῦ φιλοσόφου Νικόμαχον. ἐτιμήθη δὲ παρὰ Κασσάνδρῳ τῷ Ἀντιπάτρου, καὶ τελευτᾷ κατάπονος ὑπὸ τοῦ ἀεὶ γράφειν γενόμενος, εἶτα ἐνδοὺς ἐπὶ βραχείας ἡμέρας διὰ μαθητοῦ γάμους. βιβλία δὲ αὐτοῦ πάμπλειστα, ὧν καὶ ταῦτα· ἀναλυτικῶν προτέρων γ', ἀναλυτικῶν ὑστέρων ζ', ἀναλύσεως συλλογισμῶν, ἀναλυτικῶν ἐπιτομήν, ἀνηγμένων τόπων, περὶ φυτῶν, περὶ λίθων, περὶ μετάλλων, περὶ ὀδμῶν [τοὺς καλουμένους χαρακτῆρας] καὶ ἄλλα.

CCCLXII. *Θεοφύλακτος* . . σοφιστής, ᾧ ἐπώνυμον Σιμοκάτης . . .

CCCLXIII. *Θέσπις* Ἰκαρίου, πόλεως Ἀττικῆς, τραγικὸς ἑκκαιδέκατος ἀπὸ τοῦ πρώτου γενομένου τραγῳδιοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίου τιθέμενος, ὡς δέ τινες, δεύτερος μετὰ Ἐπιγένην· ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασί. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν, εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν ἐν μόνῃ ὀθόνῃ κατασκευάσας. ἐδίδαξε δὲ ἐπὶ τῆς πρώτης καὶ ξ' ὀλυμπιάδος. μνη-

μονεύεται δὲ τῶν δραμάτων αὐτοῦ Ἆθλα Πελίου ἢ Φόρβας, Ἱερεῖς, Ἠΐθεοι, Πενθεύς.

CCCLXIV. Θέσσαλος Κῷος ἰατρός, υἱὸς Ἱπποκράτους τοῦ διασήμου, οὗ πάλιν υἱοὶ Γοργίας καὶ Ἱπποκράτης. ἰατρικῶν βιβλία γ'.

CCCLXV. Θέων Ἀλεξανδρεύς, φιλόσοφος Στωικός, γεγονὼς ἐπὶ Αὐγούστου μετὰ Ἄρειον. ἔγραψε τῆς Ἀπολλοδώρου φυσιολογικῆς εἰσαγωγῆς ὑπόμνημα, περὶ τεχνῶν ῥητορικῶν βιβλία γ'.

CCCLXVI. Θέων Σμυρναῖος φιλόσοφος.

καί Θέων Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος Στωικός. ἔγραψεν ἀπολογίαν Σωκράτους.

CCCLXVII. Θέων ὁ ἐκ τοῦ Μουσείου, Αἰγύπτιος φιλόσοφος, σύγχρονος δὲ Πάππῳ τῷ φιλοσόφῳ, καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἐτύγχανον δὲ ἀμφότεροι ἐπὶ Θεοδοσίου βασιλέως τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά, περὶ σημείων καὶ σκοπῆς ὄρνεων καὶ τῆς κοράκων φωνῆς, περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα, καὶ εἰς τὸν μικρὸν ἀστρόλαβον ὑπόμνημα.

CCCXLVIII. Θέων Ἀλεξανδρεὺς σοφιστής, ὃς ἐχρημάτισεν Αἴλιος. ἔγραψε τέχνην, περὶ προγυμνασμάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Ἰσοκράτην, εἰς Δημοσθένην, ῥητορικὰς ὑποθέσεις καὶ ζητήματα περὶ συντάξεως λόγου καὶ ἄλλα πλείονα.

CCCLXIX. Θέων ὁ Οὐαλέριος χρηματίσας, σοφιστής. ὑπόμνημα εἰς Ἀνδοκίδην.

CCCLXX. Θέων Γυμνασίου τοῦ σοφιστοῦ παῖς, Σιδώνιος σοφιστής, καὶ ἀπὸ ὑπάτων καὶ ὕπαρχος, παιδεύσας κατὰ τὴν πατρίδα, γενόμενος δὲ ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.

CCCLXXI. Θέων σοφιστὴς λόγων ῥητορικῶν, γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τό γε ἀνέκαθεν, τὸ δὲ ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου, διδασκάλου καὶ τούτου τέχνης ῥητορικῆς. ἦν δὲ οὗτος ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξύς, φιλομαθὴς δὲ

καὶ φιλόπονος εἰς ὑπερβολήν. ταῦτά τοι καὶ ἐγεγόνει πολυμαθέστατος ἐν ὀλίγῳ χρόνῳ, πολλὴν μὲν ἀρχαίαν ἱστορίαν, πολλὴν δὲ νέαν περιβαλλόμενος.

CCCLXXII. Θηραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου, ὃς ἐπεκαλεῖτο Κόθορνος. ⟨ἀνῃρέθη δὲ κατηγορήσαντος αὐτοῦ Κριτίου ἐπὶ τῶν λ⟩. μελέτας ῥητορικὰς καὶ ἄλλα τινά.

CCCLXXIII. Θηραμένης Κεῖος σοφιστής. μελετῶν βιβλία γʹ, περὶ ὁμοιώσεως λόγου, περὶ εἰκόνων, ἤτοι παραβολῶν, περὶ σχημάτων.

CCCLXXIV. Θησεὺς ἱστορικός. βίους ἐνδόξων ἐν βιβλίοις εʹ, Κορινθιακὰ ἐν βιβλίοις γʹ, ἐν ᾧ δηλοῖ τὴν κατάστασιν τοῦ Ἰσθμιακοῦ ἀγῶνος.

CCCLXXV. Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, παῖδα δὲ ἔσχε Τιμόθεον. ἦν δὲ ἀπὸ μὲν πατρὸς Μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἕλκων, ἀπὸ δὲ μητρὸς Ὀλόρου τοῦ Θρᾳκῶν βασιλέως, μαθητὴς Ἀντιφῶντος. ἤκμαζε κατὰ τὴν πζʹ ὀλυμπιάδα. ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. [οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων Ἡροδότου ἐπὶ τῆς Ὀλυμπίας τὰς ἱστορίας διερχομένου ἃς συνεγράψατο, καὶ κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ πλήρης δακρύων ἐγένετο. καὶ ὁ Ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν πρὸς τὸν πατέρα Θουκυδίδου "Ὀλορον ἔφη ʽμακαρίζω σε τῆς εὐτεκνίας, "Ὀλορε· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα'. καὶ οὐκ ἐψεύσθη γε τῆς ἀποφάσεως.]

οὗτος ὁ Θουκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις καὶ κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγικαῖς συμβουλίαις καὶ πανηγυρικαῖς ὑποθέσεσιν.

CCCLXXVI. Θρασύμαχος Χαλκηδόνιος σοφιστὴς τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον ⟨καὶ κόμμα⟩ καὶ κῶλον κατέδειξε, καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς ⟨Γοργίου, διδάσκαλος δὲ⟩ Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε συμβουλευτικούς, τέχνην ῥητορικήν, παίγνια, ἀφορμὰς ῥητορικάς.

CCCLXXVII. Ἰάκωβος Ἡσυχίου υἱὸς ἰατροῦ, ὁ ἐπικληθεὶς ψυχριστής, ἐκ τοῦ ἐξάρχου Δαμασκηνοῦ. εἰς Ῥόδον δὲ

γενομένου τοῦ πατρός, εἶτα εἰς Δρέπανον τὸ ἐν Ἄργει ἐλθόντος, κἀκεῖ γήμαντος τὴν ἐξ αὐτοῦ τεκοῦσαν τὸν Ἰάκωβον, καταλιπόντος δὲ τήν τε γαμετὴν καὶ τὸν παῖδα, καὶ ἐκδημήσαντος ἐπὶ ἔτη ιθ' εἴς τε Ἀλεξάνδρειαν καὶ Ἰταλίαν, καὶ οὐδὲ περιεῖναι δοκοῦντος· ὅθεν γαμεῖται μὲν ἡ Ἰακώβου μήτηρ δευτέρῳ ἀνδρί, καὶ παίδων αὐτῇ γενομένων ἀρρένων δύο καὶ θηλείας τελευτᾷ τὸν βίον ὁ γαμήσας αὐτήν, ἐπάνεισι δὲ Ἡσύχιος εἰς Κωνσταντινούπολιν· ὅπερ γνοὺς Ἰάκωβος ἦλθε πρὸς αὐτόν, καὶ τότε παιδείας ἤρξατο, καὶ ἰάτρευσεν ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος βασιλέως.

CCCLXXVIII. Ἰάμβλιχος. οὗτος, ὥς φασιν, ἀπὸ δούλων ἦν, ἔγραψε δὲ τὰ καλούμενα Βαβυλωνιακά (ἔστι δὲ Ροδάνου καὶ Σινωνίδος ἔρως ἐν βιβλίοις λθ'). οὗτος λέγει περὶ Ζωβαρᾶ τοῦ εὐνούχου τοῦ ἐραστοῦ τῆς Μεσοποταμίας τῆς εὐειδεστάτης.

CCCLXXIX. Ἰάμβλιχος ἕτερος, Χαλκίδος τῆς Συρίας, φιλόσοφος, μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου τοῦ Πλωτίνου, γεγονὼς κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως. ἔγραψε βιβλία φιλόσοφα διάφορα.

CCCLXXX. Ἰάσων Ἀργεῖος ἱστορικός, νεώτερος Πολυτάρχου τοῦ Χαιρωνέως, [γραμματικός]. ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δ' (ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος καὶ τὰ ἀπὸ τῶν Μηδικῶν, τά τε κατ' Ἀλέξανδρον ἕως τελευτῆς αὐτοῦ καὶ τὰ μέχρι Ἀθηναίων ἁλώσεως τῆς γενομένης ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασάνδρου).

CCCLXXXI. Ἰάσων Μενεκράτους, Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρὸς Ῥόδιος, φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε βίους ἐνδόξων καὶ φιλοσόφων διαδοχὰς καὶ βίον Ἑλλάδος ἐν βιβλίοις δ' κατά τινας. [οὗτος] ἔγραψε καὶ περὶ Ῥόδου.

CCCLXXXII. Ἴβυκος Φυτίου (οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου, οἱ δὲ Κέρδαντος), γένει Ῥηγῖνος, ἐνθένδε εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχεν ὁ Πολυκράτης ὁ τοῦ τυράννου πατήρ· χρόνος δὲ ἦν οὗτος ἐπὶ Κροίσου ὀλυμπιὰς νδ'. γέγονε δὲ ἐρωτομανέστατος περὶ μειράκια καὶ πρῶτος εὗρε

τὴν καλουμένην σαμβύκην (εἶδος δέ ἐστι κιθάρας τριγώνου). ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ′ τῇ Δωρίδι διαλέκτῳ. συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπ' ἐρημίας ἔφη κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη, μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη 'ἴδε, αἱ Ἰβύκου ἔκδικοι'. ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ, τό τε γεγονὸς ὡμολογήθη καὶ δίκας ἔδωκαν οἱ λῃσταί, ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι 'αἱ Ἰβύκου γέρανοι'.

CCCLXXXIII. Ἰδαῖος Ῥόδιος, υἱὸς Λισσοῦ, ἐποποιός. παρεμβαλὼν στίχον στίχῳ ἐδίπλασε τὴν ποίησιν Ὁμήρου. Ῥοδιακὰ εἰς ἔπη ͵γ. ἔγραψε καὶ ἄλλα.

CCCLXXXIV. Ἰδομενεὺς ἱστορικός. ἔγραψεν ἱστορίαν τῶν κατὰ Σαμοθρᾴκην.

CCCLXXXV. Ἱεροκλῆς φιλόσοφος Ἀλεξανδρεύς. οὗτος μετὰ τοῦ ἀτρέπτου καὶ μεγαλοπρεποῦς εὔρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. ἦν δὲ αὐτῷ καὶ μαθητὴς Θεοσέβιος, ἀνήρ, εἴπερ τις ἕτερος ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν ἐς τὰς τῶν ἀνθρώπων ψυχάς. ἔλεγε δὲ ὁ αὐτός Θεοσέβιος ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα, κύβοις ἐοικέναι τοὺς Σωκράτους λόγους· ἀπτῶτας γὰρ εἶναι πανταχοῦ, ὅπῃ ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν προσέκρουσε τοῖς κρατοῦσι, καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς· ῥεόμενος δὲ τῷ αἵματι, βάψας κοίλην τὴν χεῖρα, προσραίνει τὸν κριτὴν ἅμα λέγων 'Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα'. φυγὴν δὲ καταχριθεὶς καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς Ἀλεξάνδρειαν συνεφιλοσόφει τὰ εἰωθότα τοῖς πλησιάζουσιν. ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων ὧν γέγραφεν εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων, καὶ ἑτέρων βιβλίων περὶ προνοίας συχνῶν, ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής.

CCCLXXXVI. Ἱερώνυμος Καρδιανός, ὃς τὰ ἐπ' Ἀλεξάνδρῳ πραχθέντα συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

CCCLXXXVII. Ἱμέριος Ἀμεινίου ῥήτορος, Προυσιάδος τῆς Βιθυνίας, σοφιστὴς τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως, ἀντιπαιδεύσας Προαιρεσίῳ ἐν Ἀθήναις, πηρὸς τὰς ὄψεις ἐν γήρᾳ. ἔγραψε μελέτας.

CCCLXXXVIII. Ἰόβας Λιβύης καὶ Μαυρουσίας βασιλεύς,

ὃν λαβόντες καὶ μαστιγώσαντες ἐπόμπευσαν οἱ Ῥωμαῖοι, οὐ μὴν ἀνεῖλον διὰ τὴν παίδευσιν. ἦν δὲ ἐπὶ Αὐγούστου Καίσαρος, καὶ τὴν Κλεοπάτρας θυγατέρα Σελήνην, ἣν ἐκ τοῦ Καίσαρος Γαΐου γενομένην ἐπεποίητο, γυναῖκα εἰλήφει. συνήκμαζε δὲ αὐτῷ Δίδυμος ὁ Χαλκέντερος ὁ καὶ πολλὰ γράψας κατ' αὐτοῦ. ἔγραψε πάνυ πολλά.

CCCLXXXIX. Ἰουλιανὸς Χαλδαῖος φιλόσοφος, πατὴρ τοῦ κληθέντος θεουργοῦ Ἰουλιανοῦ. ἔγραψε περὶ δαιμόνων βιβλία δ' . . . . ἀνθρώπων δέ ἐστι φυλακτήριον πρὸς ἕκαστον μόριον, ὁποῖα τὰ τελεσιουργικὰ Χαλδαϊκά.

CCCXC. Ἰουλιανὸς ὁ τοῦ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε καὶ αὐτὸς θεουργικά, τελεστικά, λόγια δι' ἐπῶν καὶ ἄλλα, ὅσα τῆς τοιαύτης ἐπιστήμης κρύφια τυγχάνουσι.

CCCXCI. Ἰουλιανὸς Δόμνου, ἀπὸ Καισαρείας ⟨τῆς⟩ Καππαδοκίας, σοφιστής, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

CCCXCII. Ἰουλιανὸς ὁ παραβάτης καὶ ἀποστάτης, Ῥωμαίων βασιλεύς, Κωνσταντίνου βασιλέως τοῦ μεγάλου ἀνεψιὸς ἀπὸ Δαλμάτου ἀδελφοῦ αὐτοῦ καὶ μητρὸς Γάλλας [τοὔνομα.] ἔγραψε τοὺς καλουμένους Καίσαρας (περιέχει δὲ τοὺς ἀπὸ Αὐγούστου Ῥωμαίων βασιλεῖς), ἑτέραν βίβλον περὶ τῶν τριῶν σχημάτων καὶ τὰ καλούμενα Κρόνια καὶ τὸν Μισοπώγωνα ἢ Ἀντιοχικόν, περὶ τοῦ πόθεν τὰ κακὰ καὶ πρὸς τοὺς ἀπαιδεύτους, πρὸς τὸν κύνα Ἡράκλειον, πῶς κυνιστέον, ἐπιστολὰς παντοδαπὰς καὶ ἄλλα.

CCCXCIII. Ἰουστῖνος φιλόσοφος καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος, ἀπὸ τῆς Νεαπολιτῶν ἐπαρχίας τῆς Παλαιστίνης, ἐκ πατρὸς Πρίσκου τοῦ Βακχείου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ Ἀντωνίνῳ τῷ ἐπίκλην Πίῳ καὶ τοῖς τούτου υἱέσι καὶ τῇ συγκλήτῳ Ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον, ἣν καὶ ἐπέδωκε τοῖς Ἀντωνίνου διαδόχοις, τουτέστι Μάρκῳ Ἀντωνίνῳ καὶ Λουκίῳ Αὐρηλίῳ Κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγε-

ται. καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν ἔλεγχος. καὶ ἄλλη περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλην ἣν ὠνόμασε ψάλτην, καὶ ἑτέραν περὶ ψυχῆς, διάλογόν τε κατὰ τῶν Ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ Τρύφωνος ἀρχηγοῦ τῶν ἐν Ἐφέσῳ Ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ Μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε καὶ ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ ἀπολογητικῷ, ὃν ἐπέδωκεν Ἀντωνίνῳ τῷ Πίῳ. οὗτος ἐν τῇ Ῥώμῃ ἔχων τὰς διατριβάς, εὐθύνων Κρίσκην τὸν κυνικὸν τὸν κατὰ τῶν χριστιανῶν βλασφημοῦντα, καὶ καλῶν αὐτὸν λαίμαργον ἄσωτόν τε καὶ ἀκόλαστον καὶ τὸν θάνατον φοβούμενον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς χριστιανὸς ὑπὲρ Χριστοῦ ἔπαθεν.

CCCXCIV. Ἰοῦστος Τιβεριεὺς ἐπαρχίας Γαλιλαίας, ἐπεχείρησε μὲν καὶ αὐτὸς Ἰουδαϊκὴν ἱστορίαν συντάξαι, καί τινα ὑπομνήματα περὶ γραφῶν· ἀλλὰ τοῦτον Ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν ὅτε καὶ Ἰώσηπος.

CCCXCV. Ἰοφῶν Ἀθηναῖος τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ, γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεωρίδος Σικυωνίας. δράματα δὲ Ἰοφῶν ἐδίδαξε ν', ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι ⟨ἢ⟩ Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.

CCCXCVI. Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ κυνικοῦ, Μαρωνεῖτις, φιλόσοφος κυνική, γυνὴ Κράτητος τοῦ κυνικοῦ, ὃς ἦν Θηβαῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἢ ὥς τινες Διογένους. ἤκμαζεν ἐπὶ τῆς ρια' ὀλυμπιάδος. ἔγραψε φιλοσόφους ὑποθέσεις καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον.

CCCXCVII, Ἵππαρχος Νικαεὺς φιλόσοφος, γεγονὼς . . . ἐπὶ τῶν ὑπάτων. ἔγραψε περὶ τῶν Ἀράτου φαινομένων, περὶ τῆς τῶν ἀπλανῶν συντάξεως καὶ τοῦ καταστερισμοῦ, περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως καὶ εἰς τοὺς ἀστερισμούς.

CCCXCVIII. Ἵππαρχος κωμικὸς τῆς νέας κωμῳδίας. δράματα αὐτοῦ περὶ γάμων.

CCCXCIX. Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς καὶ τίς ὁ γάμος καὶ ἄλλα τινά.

CCCC. *Ἱππίας* Διοπείθους, Ἠλεῖος σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἡγησιδάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

CCCCI. *Ἱππόβοτος* φιλόσοφος, ὃς ἔφησεν θ' αἱρέσεις εἶναι τῶν φιλοσόφων.

CCCCII. *Ἱπποκράτης* Κῷος ἰατρός, Ἡρακλείδου υἱός (προτετάχθω γὰρ καὶ τοῦ πάππου τοῦ Ἡρακλείδου πατρός, εἰ καὶ ὁμώνυμος ἦν, διὰ τὸ ἀστέρα καὶ φῶς τῆς βιωφελεστάτης ἰατρικῆς γενέσθαι), ἀπόγονος δὲ Χρύσου [τοὔνομα] καὶ Ἐλάφου τοῦ ἐκείνου παιδός, ἰατρῶν καὶ αὐτῶν. οὗτος μαθητὴς γέγονε τὸ μὲν πρῶτον τοῦ πατρός, μετὰ δὲ ταῦτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος καὶ φιλοσόφου, ὡς δέ τινες, Δημοκρίτου τοῦ Ἀβδηρίτου (ἐπιβαλεῖν γὰρ αὐτὸν νέον πρεσβύτῃ), ὡς δέ τινες, καὶ Προδίκου. διέτριψε δὲ ἐν Μακεδονίᾳ, φίλος ὢν σφόδρα τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας δὲ σχὼν δύο, Θέσσαλον καὶ Δράκοντα, κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς δ' καὶ ρ', καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. [ἐν δὲ ταῖς Εἰκόσιν ἱστορεῖται τὸ ἱμάτιον ἐπὶ τὴν κεφαλὴν ἀναβεβλημένος καὶ σκεπόμενος, ἢ ὅτι τοῦτο ἔθος ἦν αὐτῷ, ἢ διὰ τὸ φιλαπόδημον, ἢ τὸ ἴδιον ἐν ταῖς χειρουργίαις. οὗτος ἔγραψε πολλά, καὶ πᾶσιν ἐγένετο διάδηλος, ὥστε καὶ τὸν τῶν Περσῶν βασιλέα, τὸν καλούμενον Ἀρταξέρξην, γράψαι πρὸς Ὑστάνην τῆς τοῦ ἀνδρὸς σοφίας δεόμενον. ʽβασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ χαίρειν. Ἱπποκράτους ἰητροῦ Κῴου, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, εἰς ἐμὲ κλέος ἀφῖκται τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὁπόσον ἂν βούληται, καὶ τἄλλα χύδην ὧν σπανίζει, καὶ πέμπε πρὸς ἡμέας· ἔσται γὰρ ἰσότιμος Περσέων τοῖσι ἀρίστοισι. καὶ εἴ τις ἄλλος ἐστὶν ἀνὴρ κατ' Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενος ὄλβου· ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην οὐ ῥᾴδιον. ἔρρωσο'. αἱ μὲν οὖν γραφεῖσαι παρ' Ἱπποκράτους βίβλοι πᾶσι τοῖς μετερχομένοις τὴν ἰατρικὴν ἐπιστήμην ἔκδηλοι, καὶ οὕτως αὐτὰς κατασπάζονται ὡς θεοῦ φωνὰς καὶ οὐκ ἀνθρωπίνου προελθούσας ἐκ στόματος· πλὴν τῶν ἐν πρώτοις καὶ ἡμεῖς ἀπομνημονεύσωμεν.] πρώτη μὲν οὖν βι-

βλος ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα δὲ ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν, ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν. τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλητος καὶ πολυθαύμαστος Ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

CCCCIII. Ἱπποκράτης Γνωσιδίκου υἱός, Κῷος, πατὴρ Ἡρακλείδου τοῦ πατρὸς Ἱπποκράτους, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν Ἀσκληπιαδῶν. ἰατρικήν.

CCCCIV. Ἱπποκράτης Θεσσάλου, Κῷος ἰατρός, ἔγγονος δὲ Ἱπποκράτους τοῦ δευτέρου τοῦ υἱοῦ Ἡρακλείδου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

CCCCV. Ἱπποκράτης τέταρτος, ὁ Δράκοντος, ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε μὲν Ῥωξάνην, ὑπὸ δὲ Κασάνδρου τελευτᾷ, τοῦ υἱοῦ Ἀντιπάτρου. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

CCCCVI. Ἱπποκράται δύο, πέμπτος καὶ ἕκτος, ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην.

CCCCVII. Ἱπποκράτης ἕβδομος, Κῷος καὶ αὐτός, ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον.

CCCCVIII. Ἱππόλυτος. οὗτος ἔγραψεν εἰς τὰς ὁράσεις τοῦ Δανιὴλ ὑπόμνημα καὶ εἰς τὰς παροιμίας Σολομῶντος.

CCCCIX. Ἵππυς Ῥηγῖνος ἱστορικός, γεγονὼς ἐπὶ τῶν Περσικῶν, ὃς πρῶτος ἔγραψε τὰς Σικελικὰς πράξεις, ἃς ὕστερον Μύης ἐπετέμετο· κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', χρονικὰ ἐν βιβλίοις ε', Ἀργολικῶν γ'.

CCCCX. Ἱππῶναξ Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος ἰαμβογράφος. ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτε αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

CCCCXI. Ἰσαῖος εἷς μέν ἐστι τῶν ι' ῥητόρων, μαθητὴς δὲ Ἰσο-

κράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος· Δημήτριος δὲ Χαλκιδέα φησὶν αὐτὸν εἶναι. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ ὡς Δημοσθένην ἀμισθὶ προαγαγών.

CCCCXII. Ἰσίδωρος πρεσβύτερος ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ. ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν γραφὴν ‚γ. γέγραφε καὶ ἄλλα τινά.

CCCCXIII. Ἰσοκράτης Θεοδώρου αὐλοποιοῦ, Ἀθηναῖος ῥήτωρ, γενόμενος ἐπὶ τῆς πϛʹ ὀλυμπιάδος, ὅ ἐστι κατὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαρρησίαστον δίκας οὐκ εἶπεν, ἐδίδαξε δὲ πλείστους, καὶ λόγους γέγραφε λβʹ. βιώσας δὲ ἔτη ϛʹ πρὸς τοῖς ρʹ ἐτελεύτησεν. ἀδελφοὶ δὲ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηστος καὶ Θεόδωρος, διδάσκαλος δὲ Γοργίας· οἱ δὲ Τισίαν φασίν, οἱ δὲ Ἐργῖνον, οἱ δὲ Πρόδικον [ἔφασαν], οἱ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτοῦ πλεῖστοι.

CCCCXIV. Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου, Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ ἢ Ἡρακλείας, ὡς Καλλίστρατος, ῥήτωρ, μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. οὗτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ ἅμα τῷ Ἐρυθραίῳ Ναυκράτει διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ βασιλέως Ἁλικαρνασσοῦ. καὶ λόγοι αὐτοῦ εʹ· Ἀμφικτυονικός, προτρεπτικός, περὶ τοῦ τάφον μὴ ποιῆσαι Φιλίππῳ, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.

CCCCXV. Ἴστρος Μενάνδρου [Ἴστρου], Κυρηναῖος ἢ Μακεδών, συγγραφεύς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δὲ αὐτόν φησι Πάφιον ἐν τῷ βʹ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

CCCCXVI. Ἰφικράτης σκυτέως πατρός, Ἀθηναῖος ῥήτωρ καὶ στρατηγός, ὃς πρῶτος ἐν τοῖς λαφύροις τὸ ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

CCCCXVII. Ἰωάννης Φιλαδελφεὺς Λυδός. οὗτος ἔγραψε

*περὶ μηνῶν βιβλίον α', καὶ περὶ διοσημειῶν ἕτερον [καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν]. προσομιλεῖ δὲ ταῦτα Γαβριηλίῳ τινὶ ὑπάρχῳ.*

CCCCXVIII. *Ἰωάννης ὁ ἐπονομαζόμενος Στοβεύς. ἀνθολόγιον περιέχον τὰς παρὰ πᾶσι πολλῶν δόξας ἐν βιβλίοις δ', ἐνάρετα πάνυ καὶ γέμοντα πάσης παιδεύσεως. γράφει δὲ ταῦτα πρὸς Σεπτίμιον υἱὸν αὐτοῦ.*

CCCCXIX. *Ἰωάννης γραμματικὸς Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Φιλόπονος. τούτου συγγράμματα πάμπολλα, γραμματικά, φιλόσοφα, ἀριθμητικά, ῥητορικά, τῆς τε θείας γραφῆς καὶ κατὰ τῶν ιη' Προκλείων ἐπιχειρημάτων καὶ κατὰ Σεβήρου. πλὴν ὅτι παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ὡς τριθεΐτης ἐκβάλλεται καὶ τοῦ καταλόγου τῶν ὀρθοδόξων ἀποδιώκεται.*

CCCCXX. *Ἴων Χῖος τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ιβ', οἱ δὲ λ', ἄλλοι δὲ μ' φασίν. [οὗτος ἔγραψε περὶ μετεώρων καὶ συνθέτους λόγους· ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι. οὗτος τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον Κεράμιον.]*

*Ἴων τραγῳδίας ποιητής, Χῖος τὸ γένος.*

CCCCXXI. *Ἰώσηπος Ἰουδαῖος [φιλαλήθης λέγων περὶ τοῦ Προδρόμου καὶ περὶ τοῦ κυρίου ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ], Ματθίου παῖς, ἱερέως ἐξ Ἱεροσολύμων, ὁ γράψας τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν βιβλίοις κ'.*

CCCCXXII. *Κάδμος Πανδίονος, Μιλήσιος ἱστορικός, ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραφε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ'.*

*ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον.*

CCCCXXIII. *Κάδμος Ἀρχελάου Μιλήσιος, ἱστορικὸς νεώτερος. τινὲς δὲ καὶ Λυκῖνον Κάδμον ἀνέγραψαν· ἴσως οὖν ἐστιν ἕτερος. γέγραφε δὲ ταῦτα· λύσιν ἐρωτικῶν παθῶν δ' καὶ Ἀττικὰς ἱστορίας ις'.*

CCCCXXIV. *Καικίλιος* Σικελιώτης Καλακτῖνος (Καλάκτη δὲ πόλις Σικελίας), ῥήτωρ σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ Σεβαστοῦ Καίσαρος [καὶ ἕως Ἀδριανοῦ] καὶ ἀπὸ δούλων, ὥς τινες ἱστορήκασι, καὶ πρότερον μὲν καλούμενος Ἀρχάγαθος, τὴν δὲ δόξαν Ἰουδαῖος. βιβλία δὲ αὐτοῦ πολλά· κατὰ Φρυγῶν β′ [ἔστι δὲ κατὰ στοιχεῖον], ἀπόδειξις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν καλλιρρημοσύνης (ἔστι δὲ ἐκλογὴ λέξεων κατὰ στοιχεῖον), σύγκρισις Δημοσθένους καὶ Κικέρωνος, τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ, περὶ τοῦ χαρακτῆρος τῶν ι′ ῥητόρων, σύγκρισις Δημοσθένους καὶ Αἰσχίνου, περὶ Δημοσθένους, ποῖοι αὐτοῦ γνήσιοι λόγοι καὶ ποῖοι νόθοι, περὶ τῶν καθ' ἱστορίαν ἢ παρ' ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι καὶ ἄλλα πλεῖστα. πῶς δὲ Ἰουδαῖος σοφὸς οὕτω τὰ Ἑλληνικά, τοῦτο θαυμάζω.

CCCCXXV. *Καῖσαρ Τιβέριος.* ἔγραψεν ἐπιγράμματα καὶ τέχνην ῥητορικήν.

CCCCXXVI. *Καισάρειος* ὁ Γρηγορίου τοῦ θεολόγου ἀδελφός. ἔγραψε διάφορα καὶ κατὰ Ἑλλήνων.

CCCCXXVII. *Καλλίας* Ἀθηναῖος κωμικός, υἱὸς Λυσιμάχου, ὃς ἐπεκλήθη Σχοινίων διὰ τὸ σχοινοπλόκου εἶναι πατρός. οὗ δράματα Αἰγύπτιος, Ἀταλάντη, Κύκλωπες, Πεδῆται, Βάτραχοι, Σχολάζοντες.

CCCCXXVIII. *Καλλίμαχος* υἱὸς Βάττου καὶ Μεγατίμας, Κυρηναῖος γραμματικός, μαθητὴς Ἑρμοκράτους τοῦ Ἰασέως γραμματικοῦ, γαμετὴν ἐσχηκὼς τὴν Εὐφράτου τοῦ Συρακουσίου θυγατέρα. ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν ὁ νέος Καλλίμαχος ὁ γράψας περὶ νήσων δι' ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος, ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην πλεῖστα· καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω′. ἐπὶ δὲ τῶν χρόνων ἦν Πτολεμαίου τοῦ Φιλαδέλφου· πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν Ἐλευσῖνι κωμυδρίῳ τῆς Ἀλεξανδρείας. καὶ παρέτεινε μέχρι τοῦ Εὐεργέτου κληθέντος Πτολεμαίου, ὀλυμπιάδος ρκζ′, ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ Εὐεργέτης Πτολεμαῖος ἤρξατο τῆς βασιλείας. τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ ταῦτα· Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους οἰκισμοί, Ἀρκαδία, Γλαῦκος, ἐλπίδες, σατυρικὰ δράματα, τραγῳ-

δίαι, κωμῳδίαι, μέλη, Ἶβις (ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν γενόμενον ἐχθρὸν Καλλιμάχου· ἦν δὲ οὗτος Ἀπολλώνιος ὁ γράψας τὰ Ἀργοναυτικά), μουσεῖον, πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ' καὶ ρ', πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ' ἀρχῆς γενομένων διδασκάλων, πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις, κτίσεις νήσων καὶ πόλεων καὶ μετονομασίαι, περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων καὶ παραδόξων, περὶ μετονομασίας ἰχθύων, περὶ ἀνέμων, περὶ ὀρνέων, περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ τόπους ὄντων συναγωγή.

CCCCXXIX. Καλλίμαχος Κυρηναῖος ἐποποιός, ἀδελφιδοῦς τοῦ προτέρου, υἱὸς Στασήνορος καὶ Μεγατίμας τῆς ἀδελφῆς Καλλιμάχου.

CCCCXXX. Καλλίνικος Γαΐου, ὁ καὶ Σουητώριος ἐπικληθείς, σοφιστὴς Σύρος, ὡς δέ τινες Ἀράβιος, τὸ δὲ ἀληθὲς Πετραῖος, σοφιστεύσας ἐν Ἀθήναις. ἔγραψε πρὸς Λοῦπον περὶ κακοζηλίας ῥητορικῆς, προσφωνητικὸν Γαλιηνῷ, πρὸς Κλεοπάτραν, περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία ι', πρὸς τὰς φιλοσόφους αἱρέσεις, περὶ τῆς Ῥωμαίων ἀνανεώσεως καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους.

CCCCXXXI. Κάλλιππος Ἀθηναῖος φιλόσοφος, Πλάτωνος μαθητής, ὃς ἐν Συρακούσαις ἀνῃρέθη τυραννεῖν ἐπιχειρήσας. πονηρὸς οὗτος ἱστόρηται παρὰ τῷ Πλουτάρχῳ καὶ Δίωνος τοῦ Συρακουσίου προδότης.

CCCCXXXII. Καλλισθένης Δημοτίμου (οἱ δὲ Καλλισθένους) Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ ἀνεψιαδοῦς, ὃν ἔδωκεν ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ὁ δ' ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀνεῖλεν ἅμα Νεόφρονι τῷ τραγικῷ, διότι συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης. τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα Ἀλεξάνδρῳ ἀνῃρῆσθαί φασιν ἅμα Νεόφρονι. εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμῃ πολλῇ φέρεσθαι. καὶ φέρεται λόγος, ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύ-

σεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει. καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος 'καὶ φθειριῶσαν ὡς ὁ πρὶν Καλλισθένης', περὶ τῆς ἰατρικῆς τέχνης λέγων, ὡς ἠμέλητο πάνυ.

CCCCXXXIII. Κάνθαρος Ἀθηναῖος κωμικός. μνημονεύεται τούτου δράματα Μήδεια, Τηρεύς, Συμμαχία, Μύρμηκες, Ἀηδόνες.

CCCCXXXIV. Καπίτων Λύκιος, ἱστορικός. οὗτος ἔγραψεν Ἰσαυρικὰ βιβλία η', μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου, ⟨τοῦ⟩ Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

CCCCXXXV. Καρκῖνος Ἀκραγαντῖνος τραγικός.

καὶ Καρκῖνος Θεοδέκτου ἢ Ξενοκλέους Ἀθηναῖος τραγικός. δράματα ἐδίδαξεν ρξ', ἐνίκησε δὲ α'. ἤκμαζε κατὰ τὴν ρ' ὀλυμπιάδα, πρὸ τῆς Φιλίππου βασιλείας τοῦ Μακεδόνος. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀχιλλεύς, Σεμέλη, ἧς ἀρχή, . . . . . ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς.

CCCCXXXVI. Καρκῖνος ποιητὴς Ἀττικός.

CCCCXXXVII. Καρνεάδης Λίβυς ἀπὸ Κυρήνης, υἱὸς Φιλοκώμου, φιλόσοφος, ἀφ' οὗπερ ἡ νέα Ἀκαδήμεια ἤρξατο. φασὶ δὲ τελευτήσαντος αὐτοῦ τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι.

CCCCXXXVIII. Καρνεάδης ἕτερος, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ἀναξαγόρου.

CCCCXXXIX. Κάστωρ Ῥόδιος, ἢ ὥς τινες Γαλάτης, ὡς δὲ ἄλλοι ἐπλανήθησαν Μασσαλιώτης, ῥήτωρ, ὃς ἐκλήθη Φιλορώμαιος. γήμας δὲ οὗτος Δηιοτάρου τοῦ συγκλητικοῦ θυγατέρα ἀνῃρέθη ὑπ' αὐτοῦ ἅμα τῇ γαμετῇ, διότι αὐτὸν Καίσαρι διέβαλεν. ἔγραψε δὲ ἀναγραφὴν [Βαβυλῶνος καὶ] τῶν θαλασσοκρατησάντων ἐν βιβλίοις β', χρονικὰ ἀγνοήματα, [καὶ] περὶ ἐπιχειρημάτων ἐν βιβλίοις ε', περὶ πειθοῦς β', περὶ τοῦ Νείλου, τέχνην ῥητορικὴν καὶ ἕτερα.

CCCCXL. Κέβης Θηβαῖος φιλόσοφος, Σωκράτους μαθητής. διάλογοι δὲ αὐτοῦ φέρονται γ'· Ἑβδόμη, Φρύνιχος, Πίναξ (ἔστι δὲ τῶν ἐν Ἅιδου διήγησις) καὶ ἄλλα τινά.

CCCCXLI. Κελσῖνος Εὐδώρου, Κασταβαλεὺς φιλόσο-

φος. ἔγραψε συναγωγὴν δογμάτων πάσης αἱρέσεως φιλοσόφου καὶ ἕτερα.

CCCCXLII. Κεφαλίων | ἢ Κεφάλων Γεργίθιος |, ῥήτωρ καὶ ἱστορικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ. ἔφυγε δὲ τὴν πατρίδα δι' ἀπέχθειαν δυναστῶν καὶ ἐβίω ἐν Σικελίᾳ. ἔγραψε παντοδαπὰς ἱστορίας ἐν βιβλίοις θ', ἅτινα ἐπιγράφει Μούσας, Ἰάδι διαλέκτῳ, | μελέτας τε ῥητορικάς, | καὶ ἄλλα τινά.

CCCCXLIII. Κέφαλος Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμια καὶ ἐπιλόγους προσέθηκε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας. ὅτι Κέφαλος οὗτος ἔσχε θυγατέρα τὴν Οἴην.

CCCCXLIV. Κηφισόδωρος Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. ἔστιν αὐτοῦ τῶν δραμάτων Ἀντιλαΐς, Ἀμαζόνες, Τροφώνιος, Ὗς.

CCCCXLV. Κικίλιος Ἀργεῖος ἐποποιός, ἁλιευτικὰ γεγραφώς. καὶ Νουμήνιος Ἡρακλεώτης, Παγκράτης Ἀρκάς, Ποσειδώνιος Κορίνθιος, Ὀππιανὸς Κίλιξ. καταλογάδην δὲ ἔγραψαν οὗτοι· Σέλευκος Ταρσεύς, Λεωνίδης Βυζάντιος, Ἀγαθοκλῆς Ἀτράκιος.

CCCCXLVI. Κλαυδιανὸς Ἀλεξανδρεύς, ἐποποιὸς νεώτερος. γέγονεν ἐπὶ τῶν χρόνων Ἀρκαδίου καὶ Ὁνωρίου τῶν βασιλέων.

CCCCXLVII. Κλεάνθης ὁ Κάσσιος χρηματίσας Φανίου, [Ἄσσιος,] μαθητὴς Κράτητος, εἶτα Ζήνωνος, οὗ καὶ διάδοχος γέγονε, διδάσκαλος δὲ τοῦ φιλοσόφου Χρυσίππου τοῦ Σολέως καὶ Ἀντιγόνου τοῦ βασιλέως. οὗτος πρότερον ἦν πύκτης, ἐλθὼν δὲ εἰς Ἀθήνας ἠράσθη φιλοσοφίας, καὶ τοσοῦτον γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς κληθῆναι. [μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ καὶ μεθ' ἡμέραν τοῖς μαθήμασι καὶ τοῖς βιβλίοις ἐσχόλαζεν. ὅθεν ἐπωνομάσθη καὶ Φρεάντλης.] ἔγραψε δὲ πάνυ πολλά.

CCCCXLVIII. Κλέαρχος Σολεύς. ἔγραψε διάφορα.

καὶ Κλέαρχος ὁ Ποντικὸς νέος ὢν εἰς Ἀθήνας ἀφίκετο ἀκοῦσαι Πλάτωνος.

CCCCXLIX. Κλεοβουλίνη Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ. ἔγραψεν ἔπη καὶ γρίφους καὶ τὸ ᾀδόμενον εἰς τὸν

*ἐνιαυτὸν αἴνιγμα, οὗ ἡ ἀρχὴ 'εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα, τῶν δὲ ἑκάστῳ παῖδες τριάκοντα'.*

CCCCL. *Κλεόβουλος Εὐαγόρου Λίνδιος, εἷς τῶν ζ' ὀνομαζομένων σοφῶν, ῥώμῃ καὶ κάλλει διαφέρων τῶν κατ' αὐτόν, μετέσχε τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. [ἐγένετο δὲ αὐτῷ θυγάτηρ Κλεοβουλίνη ἐξαμέτρων αἰνιγμάτων ποιήτρια.] οὗτος ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια. [τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε. 'ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσιν.' ἔλεγέ τε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. 'εὐτυχῶν μὴ ἔσο ὑπερήφανος, ἀπορήσας μὴ ταπεινοῦ, τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.'] ἐτελεύτησε δὲ γηραιός, ἔτη βιοὺς ο'. ἀπεφήνατο 'πάντων μέτρον ἄριστον.' καὶ Σόλωνι ἐπέστειλεν οὕτω· 'πολλοὶ μέν τιν εἰσὶν ἑταῖροι καὶ οἶκος πάντῃ, φαμὶ δ' ἐγὼ ποτανεστάταν ἔσεσθαι Σόλωνι τὰν Λίνδον δαμοκρατευμέναν, καὶ ἁ νᾶσος πελαγία.'*

CCCCLI. *Κλεοφῶν Ἀθηναῖος τραγικός. τῶν δραμάτων αὐτοῦ Ἀκταίων, Ἀμφιάραος, Ἀχιλλεύς, Βάκχαι, Δεξαμενός, Ἠριγόνη, Θυέστης, Λεύκιππος, Πέρσις, Τήλεφος.*

CCCCLII. *Κλήμης ἱστορικός. ἔγραψε Ῥωμαίων βασιλεῖς καὶ αὐτοκράτορας, | καὶ πρὸς Ἱερώνυμον περὶ τῶν Ἰσοκρατικῶν σχημάτων καὶ ἄλλα. |*

CCCCLIII. *Κοδράτος Ῥωμαῖος ἱστορικός. ἔγραψεν Ἰάδι διαλέκτῳ ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις ιε', (ἐπιγραφὴν δὲ Χιλιετηρίδα,) καὶ περιέχει ⟨τὰ⟩ ἀπὸ κτίσεως Ῥώμης ἕως Ἀλεξάνδρου τοῦ Μαμαίας, υἱοῦ Καίσαρος.*

CCCCLIV. *Κοκκηιανὸς ὁ Δίων ὄνομα κύριον . . .*

CCCCLV. *Κόκκος ῥήτωρ Ἀθηναῖος, μαθητὴς Ἰσοκράτους. λόγους ῥητορικούς.*

CCCCLVI. *Κόλουθος Λυκοπολίτης Θηβαῖος, ἐποποιός, γεγονὼς ἐπὶ τῶν χρόνων βασιλέως Ἀναστασίου. ἔγραψε Καλυδωνιακὰ ἐν βιβλίοις ϛ' καὶ ἐγκώμια δι' ἐπῶν καὶ Περσικά.*

CCCCLVII. *Κόριννα Ἀχελωοδώρου καὶ Προκρατίας, Θηβαία ἢ Ταναγραία, μαθήτρια Μύρτιδος, λυρική, ἐπωνόμαστο δὲ Μυῖα. ἐνίκησε δὲ πεντάκις, ὡς λόγος, Πίνδαρον. ἔγραψε βιβλία ε' καὶ ἐπιγράμματα καὶ νόμους λυρικούς.*

CCCCLVIII. *Κόριννα* Θεσπία λυρική, οἱ δὲ Κορινθίαν εἰρήκασι. νόμους λυρικούς.

CCCCLIX. *Κόριννα* νεωτέρα, Θηβαία, λυρική, ἡ καὶ Μυῖα κληθεῖσα.

CCCCLX. *Κόριννος* Ἰλιεύς, ἐποποιὸς τῶν πρὸ Ὁμήρου, ὥς τισιν ἔδοξε, καὶ πρῶτος γράψας τὴν Ἰλιάδα, ἔτι τῶν Τρωικῶν συνισταμένων. ἦν δὲ Παλαμήδους μαθητὴς καὶ ἔγραψε τοῖς ὑπὸ Παλαμήδους εὑρεθεῖσι Δωρικοῖς γράμμασιν. ἔγραψε δὲ καὶ τὸν Δαρδάνου πρὸς Παφλάγόνας πόλεμον, ὡς ἐκ τούτου λαβεῖν καὶ τῆς ποιήσεως πᾶσαν ὑπόθεσιν Ὅμηρον καὶ ἐντάξαι τοῖς αὑτοῦ βιβλίοις.

CCCCLXI. [οὗτος δ] *Κορνοῦτος* Λεπτίτης (Λέπτις δὲ πόλις Λιβύης), φιλόσοφος, γεγονὼς ἐν Ῥώμῃ ἐπὶ Νέρωνος, καὶ πρὸς αὐτοῦ ἀναιρεθεὶς σὺν τῷ Μουσωνίῳ. ἔγραψε πολλὰ φιλόσοφά τε | καὶ ῥητορικά. |

CCCCLXII. *Κράτης Ἀθηναῖος* κωμικός, οὗ ἦν ἀδελφὸς Ἐπίλυκος, ποιητὴς ἐπῶν. δράματα δὲ αὐτοῦ εἰσιν ξξ.· Γείτονες, Ἥρωες, Θηρία, Λάμια, Πεδῆται, Σάμιοι. | ἔγραψε δὲ καὶ καταλογάδην τινά. |

CCCCLXIII. *Κράτης* Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. φέρεται αὐτοῦ δράματα γ'· Θησαυρός, Ὄρνιθες, Φιλάργυρος.

CCCCLXIV. *Κράτης* Ἀσκώνδου Θηβαῖος, φιλόσοφος κυνικός, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ, [ὃς ἐξαργυρίσας τὴν οὐσίαν δέδωκε τὰ ἀργύρια τραπεζίτῃ, εἰπών, εἰ οἱ παῖδες αὐτῷ φιλοσοφήσουσι, τῷ δήμῳ δοῦναι, εἰ δὲ μή, τοῖς παισίν. γήμας δὲ Ἱππαρχίαν τὴν Μαρωνεῖτιν κυνογαμίαν τὸν γάμον ἐκάλεσε, παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς Πασικλέα.] ἦν δὲ ἐπὶ τῆς ριγ' ὀλυμπιάδος. [ἐπεκλήθη δὲ θυρεπανοίκτης διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς παντὸς οὗπερ ἠβούλετο οἶκον. οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον, ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ εἶπεν 'ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης'.] ἔγραψε φιλόσοφα. ὅτι Κράτης εἶπεν 'ἔρωτα παύει λιμός, εἰ δὲ μή, χρόνος, εἰ δὲ μή, βρόχος'. οὗτος κατεπόντωσε τὴν οὐσίαν, ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῷ βίῳ Ἀπολλωνίου τοῦ Τυανέως.

CCCCLXV. *Κράτης* Τιμοκράτους Μαλλώτης, φιλόσοφος Στωικός, ὃς ἐπεκλήθη Ὁμηρικὸς καὶ Κριτικὸς διὰ τὴν καὶ περὶ τοὺς γραμματικοὺς καὶ ποιητικοὺς λόγους αὐτοῦ ἐπίστασιν, σύγχρονος Ἀριστάρχου τοῦ γραμματικοῦ ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος. συνέταξε διόρθωσιν Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις θ' καὶ ἄλλα.

CCCCLXVI. *Κρατῖνος* Καλλιμήδους, Ἀθηναῖος κωμικός, λαμπρὸς τὸν χαρακτῆρα, φιλοπότης δὲ καὶ παιδικῶν ἡττημένος. ἦν δὲ τῆς ἀρχαίας κωμῳδίας. ἔγραφε δὲ δράματα κα', ἐνίκησε δὲ θ'.

CCCCLXVII. *Κρεώφυλος* Ἀστυκλέους Χῖος ἢ Σάμιος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί, οἱ δὲ φίλον μόνον γεγονέναι αὐτὸν Ὁμήρου λέγουσι, καὶ ὑποδεξάμενον Ὅμηρον λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

CCCCLXVIII. *Κρίτων* Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητής, ὃς καὶ γνησίως διετέθη πρὸς Σωκράτην καὶ τὰ πρὸς τὴν χρείαν πάντα ἐδίδου αὐτῷ. ἔγραφε Σωκράτους ἀπολογίαν.

CCCCLXIX. *Κρίτων* Πιεριώτης (πόλις δὲ Μακεδονίας ἐστὶν ἡ Πιερία), ἱστορικός. ἔγραφε Παλληνιακά, | Συρακουσῶν κτίσιν |, Περσικά, | Σικελικά, Συρακουσῶν περιήγησιν | καὶ περὶ τῆς ἀρχῆς τῶν Μακεδόνων.

CCCCLXX. *Κρίτων* Νάξιος ἱστορικός. ἔγραφεν Ὀκταετηρίδα, ἣν Εὐδόξου φασί.

CCCCLXXI. *Κτησίας* Κτησιάρχου ἢ Κτησιόχου, Κνίδιος, ἰατρός, ὃς ἰάτρευσεν ἐν Πέρσαις Ἀρταξέρξην τὸν Μνήμονα κληθέντα καὶ συνέγραφε Περσικὰ ἐν βιβλίοις κ' καὶ γ'.

CCCCLXXII. *Κῦρος* Πανοπολίτης, ἐποποιός. γέγονεν ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως, ὑφ' οὗ καὶ ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος πόλεως προεβλήθη, καὶ γέγονεν ἀπὸ ὑπάτων καὶ πατρίκιος. [Εὐδοκία γὰρ ἡ Θεοδοσίου γαμετή, βασιλὶς οὖσα, ὑπερηγάσθη τὸν Κῦρον φιλοεπὴς οὖσα. ἀλλὰ αὐτῆς ἀποστάσης τῶν βασιλείων καὶ εἰς ἀνατολὴν ἐν Ἱεροσολύμοις

διατριβούσης, Κῦρος ἐπιβουλευθεὶς ἐπίσκοπος τῶν ἱερῶν γίνεται ἐν Κοτυαείῳ τῆς Φρυγίας.] καὶ παρέτεινε μέχρι Λέοντος τοῦ βασιλέως.

CCCCLXXIII. Λακύδης Ἀλεξάνδρου, Κυρηναῖος φιλόσοφος, ὃς τῆς νέας Ἀκαδημείας κατῆρξεν. ἔγραφε φιλόσοφα καὶ περὶ φύσεως.

CCCCLXXIV. Λαμπρίας Πλουτάρχου τοῦ Χαιρωνέως υἱός. ἔγραφε πίνακα ὧν ὁ πατὴρ αὐτοῦ ἔγραφε περὶ πάσης Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς ἱστορίας.

CCCCLXXV. Λᾶσος Χαβρίνου Ἑρμιονεύς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' ὀλυμπιάδα, ὅτε Δαρεῖος ὁ Ὑστάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ζ' σοφοῖς ἀντὶ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μουσικῆς λόγον ἔγραφε καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους.

CCCCLXXVI. Λαχάρης [Λαχάρους] Ἀθηναῖος σοφιστής, μαθητὴς Ἡρακλέωνος Ἀθηναίου, διδάσκαλος δὲ πλείστων, ἐνδόξων δὲ Εὐστεφίου καὶ Νικολάου καὶ Ἀστερίου, ἀκμάσας ἐπί τε Μαρκιανοῦ καὶ Λέοντος τῶν βασιλέων. ἔγραφε περὶ κώλου καὶ κόμματος καὶ περιόδου, διαλέξεις, ἱστορίαν τὴν κατὰ Κορνοῦτον, ἐκλογὰς ῥητορικὰς κατὰ στοιχεῖον.

CCCCLXVII. Λεσβῶναξ Μυτιληναῖος φιλόσοφος, γεγονὼς ἐπὶ Αὐγούστου, πατὴρ Ποτάμωνος τοῦ φιλοσόφου. ἔγραφε πλεῖστα φιλόσοφα.

CCCCLXXVIII. Λεσχίδης ἐπῶν ποιητής, ὃς συνεστράτευσεν Εὐμενεῖ τῷ βασιλεῖ, ὃς ἦν ἐπιφανέστατος τῶν ποιητῶν. συνῆν δὲ τούτῳ καὶ Πυθέας ὁ συγγραφεὺς καὶ Μένανδρος ἰατρός.

CCCCLXXIX. Λεύκων Ἅγνωνος, γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ὄνος ἀσκοφόρος, Φράτερες.

CCCCLXXX. Λέων Λέοντος Βυζάντιος, φιλόσοφος περιπατητικὸς καὶ σοφιστής, μαθητὴς | Πλάτωνος ἢ ὥς τινες | Ἀριστοτέλους. ἔγραφε τὰ κατὰ Φίλιππον καὶ τὸ Βυζάντιον

βιβλίοις ζ', | Τευθραντικόν, περὶ Βησαίου |, τὸν ἱερὸν πόλεμον, [περὶ στάσεων] | τὰ κατ' Ἀλέξανδρον. | οὗτος ἦν σφόδρα παχύς, καὶ πρεσβεύσας πρὸς Ἀθηναίους γέλωτα ἐκίνησε καὶ τῆς πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα. ταραχθεὶς δὲ οὐδὲν ἀπὸ τοῦ γέλωτος 'τί' ἔφη 'ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδὲ ἡ οἰκία'. καὶ εἰς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ. οὗτος ὁ Λέων ἀποκρουόμενος τὸν Φίλιππον ἀπὸ τοῦ Βυζαντίου διεβλήθη παρὰ Φιλίππου πρὸς τοὺς Βυζαντίους δι' ἐπιστολῆς ἐχούσης οὕτως 'εἰ τοσαῦτα χρήματα παρεῖχον Λέοντι, ὁπόσα με ᾔτεῖτο, ἐκ πρώτης ἂν ἔλαβον τὸ Βυζάντιον'. ταῦτα ἀκούσαντος τοῦ δήμου καὶ ἐπισυστάντος τῇ οἰκίᾳ τοῦ Λέοντος, φοβηθεὶς μή πως λιθόλευστος παρ' αὐτῶν γένηται, ἑαυτὸν ἦγξε, μηδὲν ἀπὸ τῆς σοφίας καὶ τῶν λόγων κερδάνας ὁ δείλαιος.

CCCCLXXXI. Λέων Ἀλαβανδεὺς ῥήτωρ. ἔγραψε Καρικῶν βιβλία δ', Λυκιακὰ ἐν βιβλίοις β', τέχνην, περὶ στάσεων, | τὸν ἱερὸν πόλεμον Φωκέων καὶ Βοιωτῶν |.

CCCCLXXXII. Λεωνᾶς σοφιστής, Ἴσαυρος τὸ γένος, εὐδοκιμῶν ἐν τῷ πλήθει τῶν ἐν Ἀλεξανδρείᾳ ὁμοτέχνων, ὃς Πρόκλῳ οὐ μόνον τῶν ἑαυτοῦ λόγων ἐκοινώνησεν, ἀλλὰ καὶ σύνοικον ἔχειν ἠξίου καὶ συνδιαιτᾶσθαι γυναικὶ καὶ τέκνοις παρεσκεύασεν, οἷα παῖδα γνήσιον καὶ τοῦτον γενόμενον. γνώριμον δὲ αὐτὸν ἐποίει καὶ τοῖς τὰς ἡνίας ἔχουσι τῆς Αἰγύπτου.

CCCCLXXXIII. Λιβάνιος Ἀντιοχεὺς σοφιστής, ἐπὶ τῶν Ἰουλιανοῦ τοῦ βασιλέως χρόνων, καὶ μέχρι Θεοδοσίου τοῦ πρεσβύτου, Φασγανίου πατρός, μαθητὴς Διοφάντου. ἔγραψεν ἄπειρα, ἐν οἷς ἐγκώμιον εἰς Κωνστάντιον τὸν βασιλέα, ἕτερον εἰς Ἰουλιανόν, μελέτας ῥητορικὰς καὶ ἐπιστολάς. οὗτος καὶ ἐπὶ τῶν χρόνων ἦν Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ θεολόγου. 'ὁ δὲ Ἰουλιανὸς ὁ παραβάτης, καίπερ τοσούτοις ἐμβεβηκώς, τῆς τε περὶ λόγους ἥπτετο φιλοτιμίας καὶ τὸν τῆς Ἀντιοχείας σοφιστήν, ᾧ Λιβάνιος ὄνομα, διαφερόντως ἐθαύμασεν, τὰ μὲν ἴσως ἐπαινῶν, τὰ δὲ ὅπως λυποίη τὸν μέγαν σοφιστὴν Προαιρέσιον, προτιμῶν ἕτερον. Ἀκάκιος γοῦν τις αὐτῷ τῶν περὶ ῥητορικὴν δεινῶν καὶ ὁ ἐκ Φρυγίας Τουσκιανὸς ἀεὶ πρὸς ταῦτα ἐπεκάλουν καὶ διεμέμφοντο τὰς κρίσεις'.

CCCCXXXIV. Λίνος Χαλκιδεύς, Ἀπόλλωνος καὶ Τερψιχόρης, οἱ δὲ Ἀμφιμάρου καὶ Οὐρανίας, οἱ δὲ Ἑρμοῦ καὶ Οὐρανίας. λέγεται δὲ πρῶτος οὗτος ἀπὸ Φοινίκης γράμματα εἰς

τόρων. ἐτέχθη δ' ἐν Ἀθήναις, μετοικήσαντος τοῦ Κεφάλου ἐκεῖσε, γενονὼς δὲ ἐτῶν ιε' εἰς Θουρίους ᾤχετο σὺν ἀδελφοῖς δύο, κοινωνήσων τῆς ἀποικίας. εἶτα ἐκπεσὼν ἐκεῖθεν ἐπ' ἀττικισμῷ ἐπανῆλθεν εἰς Ἀθήνας, ἄγων ἔτος μζ'. λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ', καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν πλὴν Ἰσοκράτους. ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας, ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ', μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ ε' πρὸς μειράκια.

CCCCXCVI. *Λύσιππος.* τῶν δραμάτων αὐτοῦ ἐστι Βάκχαι, ὡς Ἀθήναιος λέγει ἐν γ' Δειπνοσοφιστῶν καὶ ἐν τῷ η'. καὶ ἕτερα αὐτοῦ δράματα, Θυρσοκόμος. . . .

CCCCXCVII. *Μάγνης* Ἰκαρίου, πόλεως Ἀττικῆς, ἢ Ἀθηναῖος, κωμικός. ἐπιβάλλει δὲ Ἐπιχάρμῳ νέος πρεσβύτῃ. ἐδίδαξε κωμῳδίας θ', νίκας δὲ εἷλε β'· [οὗτος ἀρχαίας κωμῳδίας ποιητής, ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια, πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη'. *ψάλλων* δὲ τοὺς Βαρβιτιστάς· δρᾶμα δέ ἐστι τοῦ Μάγνητος, ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. *πτερυγίζων* δὲ ὅτι καὶ Ὄρνιθας ἐποίησε δρᾶμα.] ἔγραψε δὲ καὶ Λυδοὺς καὶ Ψῆνας καὶ Βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον· ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα.

CCCCXCVIII. *Μαΐωρ* Ἀράβοις σοφιστής. ἔγραψε περὶ στάσεων βιβλία ιγ'. συνεχρόνισε δὲ Ἀψίνῃ καὶ Νικαγόρᾳ ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

CCCCXCIX. *Μάλχος* Βυζάντοις σοφιστής. ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου καὶ ἕως Ἀναστασίου, ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον καὶ τὸν ἐμπρησμὸν τῆς δημοσίας βιβλιοθήκης καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου καὶ

ἄλλα τινὰ διεξέρχεται, μάλα σεμνῶς καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

D. *Μάναιχμος* Ἀλωπεκοννήσιος, κατὰ δέ τινας Προικοννήσιος, φιλόσοφος Πλατωνικός. ἔγραψε φιλόσοφα καὶ εἰς τὴν Πλάτωνος πολιτείαν βιβλία γ'.

DI. *Μάναιχμος* Σικυώνιος, υἱὸς Ἀλκιβίου ἢ Ἀλκιβιάδου, ἱστορικός. γέγονε δὲ ἐπὶ τῶν διαδόχων. ἔγραψεν ἱστορίαν τὴν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.

DII. *Μάνεθως* Μένδητος τῆς Αἰγύπτου, ἀρχιερεύς. ἔγραψε περὶ κατασκευῆς κυφίων.

DIII. *Μάνεθως* Διοσπόλεως τῆς Αἰγύπτου ἢ Σεβεννύτης. φυσιολογικά, ἀποτελεσματικὰ δι' ἐπῶν καὶ ἄλλα τινὰ ἀστρονομούμενα.

DIV. *Μάξιμος* Τύριος φιλόσοφος, διέτριψε δὲ ἐν Ῥώμῃ ἐπὶ Κομόδου. περὶ Ὁμήρου, καὶ τίς ἡ παρ' αὐτῷ ἀρχαία φιλοσοφία, εἰ καλῶς Σωκράτης οὐκ ἀπελογήσατο καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

DV. *Μάξιμος* Ἠπειρώτης ἢ Βυζάντιος φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ παραβάτου. ἔγραψε περὶ ἀλύτων ἀντιθέσεων, περὶ καταρχῶν, περὶ ἀριθμῶν, ὑπόμνημα εἰς Ἀριστοτέλην καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

DVI. *Μαριανὸς* Μάρσου δικηγόρου, τῶν ὑπάρχων Ῥώμης (Ῥωμαῖος γὰρ τὸ ἀρχαῖον, μετοικήσαντος δὲ τοῦ πατρὸς Ἐλευθερόπολιν, μίαν τῶν τῆς πρώτης Παλαιστίνης), ἀπὸ ὑπάτων καὶ ὑπάρχων καὶ πατρίκιος γεγονώς, τὸ ἐπιφανέστερον, κατὰ τὸν βασιλέα Ἀναστάσιον. ἔγραψε βιβλία τοσαῦτα· μετάφρασιν Θεοκρίτου ἐν ἰάμβοις ,γρν', μετάφρασιν Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν ἐν ἰάμβοις ,εχη', μετάφρασιν Καλλιμάχου Ἑκάλης, ὕμνων καὶ τῶν Αἰτίων καὶ τῶν ἐπιγραμμάτων ἐν ἰάμβοις ,ϛωι', μετάφρασιν Ἀράτου ἐν ἰάμβοις ,αρμ', μετάφρασιν Νικάνδρου τῶν Θηριακῶν ἐν ἰάμβοις ,ατο' καὶ ἄλλας πολλὰς μεταφράσεις.

DVII. *Μαρῖνος* Νεαπολίτης φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου καὶ διάδοχος. ἔγραψε βίον Πρό-

κλου τοῦ αὐτοῦ διδασκάλου καὶ φιλοσόφων ζητήματα καὶ ἄλλα τινὰ καταλογάδην καὶ ἐπικῶς.

DVIII. *Μάρκελλος* Περγαμηνὸς ῥήτωρ. ἔγραψε βιβλίον Ἀδριανὸς ἢ περὶ βασιλείας.

DIX. *Μάρκελλος* Σιδήτης ἰατρός, ἐπὶ Μάρκου Ἀντωνίνου. οὗτος ἔγραψε δι' ἐπῶν ἡρωικῶν βιβλία ἰατρικὰ μβ', ἐν οἷς καὶ περὶ λυκανθρώπου.

DX. *Μάρκος* ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων, ὁ ἐπαινετὸς κατὰ πάντα φιλόσοφος, ἀκροατὴς μὲν καὶ ἄλλων πολλῶν γενόμενος, ὕστερον δὲ διήκουσε Σέξτου ἐκ Βοιωτίας φιλοσόφου, ἐπ' αὐτῆς Ῥώμης θαμίζων αὐτῷ καὶ φοιτῶν ἐπὶ θύρας. [ὃν καὶ Λούκιός τις ῥήτωρ, γνώριμος Ἡρώδου τοῦ Ἀθηναίου ῥήτορος, ἤρετο προϊόντα ποῖ βαδίζου καὶ ἐφ' ὅ τι. καὶ ὁ Μάρκος 'καλόν' ἔφη 'καὶ γηράσκοντι τὸ μανθάνειν. εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον, μαθησόμενος ἃ οὔπω οἶδα'. καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανὸν 'ὦ ἥλιε' ἔφη 'ὁ Ῥωμαίων βασιλεὺς γηράσκων ἤδη δέλτον ἐξαψάμενος ἐς διδασκάλου φοιτᾷ. ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος β' καὶ λ' ἐτῶν ἀπέθανεν'.] οὗτος ἔγραψε τοῦ ἰδίου βίου ἀγωγὴν ἐν βιβλίοις ιβ'.

DXI. *Μαρσύας* Περιάνδρου Πελλαῖος ἱστορικός. | οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος |, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις ι' (ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων ⟨κατιὼν⟩ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου ⟨τῆς⟩ κατὰ Ἀλεξανδρείας κτίσιν), | Ἀττικὰ ἐν βιβλίοις ιβ' |, καὶ αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.

DXII. *Μαρσύας* Κριτοφήμου Φιλιππεύς, ἱστορικός, ὁ νεώτερος.

DXIII. [*Μαρσύας* Μάρσου Ταβηνός, ἱστορικός.] ἔγραψεν ἀρχαιολογίαν ἐν βιβλίοις ιβ', μυθικὰ ἐν βιβλίοις ζ' καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

DXIV. *Μελανιππίδης* Κρίτωνος, γεγονὼς κατὰ τὴν

ξε' ὀλυμπιάδα, Μήλιος. ἔγραψε δὲ διθυράμβων βιβλία πλεῖστα καὶ ποιήματα ἐπικὰ καὶ ἐπιγράμματα καὶ ἐλέγους καὶ ἄλλα πλεῖστα.

DXV. Μελανιππίδης θυγατριδοῦς τοῦ πρεσβυτέρου, παῖς δὲ Κρίτωνος λυρικοῦ καὶ αὐτοῦ, ὃς ἐν τῇ τῶν διθυράμβων μελοποιίᾳ ἐκαινοτόμησε πλεῖστα, καὶ διατρίψας παρὰ Περδίκκᾳ τῷ βασιλεῖ ἐκεῖ τὸν βίον κατέστρεψεν. ἔγραψε καὶ αὐτὸς ᾄσματα λυρικὰ καὶ διθυράμβους.

DXVI. Μελέαγρος [ὄνομα κύριον.] . . . οὗτος ὁ Μελέαγρος Φοῖνιξ ἦν τῶν ἀπὸ Παλαιστίνου πόλεων. ἐποίησεν δὲ τὸν θαυμάσιον τουτονὶ τῶν ἐπιγραμμάτων στέφανον. συνέταξεν δὲ αὐτὸς κατὰ στοιχεῖον.

DXVII. Μελήσερμος Ἀθηναῖος σοφιστής. ἔγραψεν ἐπιστολῶν ἑταιρικῶν βιβλία ιδ', [καὶ] ἀγροικικῶν ἕν, μαγειρικῶν ἐπιστολῶν ἕν, στρατηγικῶν βιβλίον ἕν, συμποσιακῶν βιβλίον ἕν·

DXVIII. Μέλητος Λαΐου Ἀθηναῖος ῥήτωρ. οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἀνύτου. πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων.

DXIX. Μέλισσος [ὄνομα κύριον] [καὶ] ⟨οὗτος⟩ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων ⟨καὶ⟩ [οὗτος] ἔγραψε περὶ τοῦ ὄντος. καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ, καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικὸν ὀλυμπιάδι πδ'.

DXX. Μένανδρος Ἀθηναῖος κωμικὸς ἀρχαῖος.

καὶ Μένανδρος ἕτερος, Ἀθηναῖος, ὁ Διοπείθους καὶ Ἡγεστράτης, περὶ οὗ πολὺς παρὰ πᾶσιν ὁ λόγος, κωμικὸς τῆς νέας κωμῳδίας, στραβὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸν νοῦν καὶ περὶ γυναῖκας ἐκμανέστατος. γέγραφε κωμῳδίας ρη' καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα καὶ λόγους ἑτέρους πλείστους καταλογάδην.

DXXI. Μένανδρος Λαοδικεὺς τῆς παρὰ Λύκῳ τῷ ποταμῷ, σοφιστής. ἔγραψεν ὑπόμνημα εἰς τὴν Ἑρμογένους τέχνην καὶ ⟨τὰ⟩ Μινουκιανοῦ προγυμνάσματα καὶ ἄλλα.

DXXII. Μένανδρος Προτίκτωρ ἱστορικός.

DXXIII. Μενεκράτης κωμικός. δράματα αὐτοῦ Μανέκτωρ ἢ Ἑρμιονεύς . . .

DXXIV. Μενεκράτης Συρακούσιος ἰατρός. οὗτος δὲ μισθὸν μὲν οὐδένα ἐκομίζετο τῆς θεραπείας (ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον), δούλους δὲ αὐτοῦ ὁμολογεῖν τοὺς θεραπευομένους ἀπῄτει καὶ Δία ἑαυτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ' αὐτοῦ, τιθεὶς ἑκάστῳ προσηγορίαν, τῷ μὲν Ἑρμοῦ, τῷ δὲ Ἀπόλλωνος.

DXXV. Μενέλαος Αἰγαῖος ἐποποιός. ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ια' καὶ ἄλλα.

DXXVI. Μένιππος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κέρκωπες καὶ ἄλλα.

DXXVII. Μεσομήδης Κρὴς λυρικός, γεγονὼς ἐπὶ τῶν Ἀδριανοῦ χρόνων, ἀπελεύθερος αὐτοῦ καὶ ἐν τοῖς μάλιστα φίλος. γράφει οὖν εἰς Ἀντίνοον ἔπαινον [ὃς ἦν Ἀδριανοῦ παιδικά,] καὶ ἄλλα διάφορα μέλη.

DXXVIII. Μεταγένης Ἀθηναῖος, δούλου παῖς, κωμικός. τῶν δὲ δραμάτων αὐτοῦ ἐστι ταῦτα· Αὖραι ἢ Μαμμάκυθος, Θουριοπέρσαι, Φιλοθύτης, Ὅμηρος, [ἢ] Ἀσκηταί.

DXXIX. Μητροφάνης Εὐκαρπίας τῆς Φρυγίας, σοφιστής. ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία β', περὶ ἰδεῶν λόγου, περὶ στάσεων, εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, εἰς τὸν Ἀριστείδην ὑπόμνημα.

DXXX. Μητροφάνης Κορνηλιανοῦ ῥήτορος, Λεβαδεύς (πόλις δὲ Βοιωτίας ἡ Λεβάδεια), σοφιστής. περὶ τῶν χαρακτήρων Πλάτωνος, Ξενοφῶντος, Νικοστράτου, Φιλοστράτου, μελέτας, λόγους πανηγυρικούς.

DXXXI. Μίθαικος γραμματικός. ἔγραψεν ὀψαρτυτικά, κυνηγετικὰ καὶ ἄλλα.

DXXXII. Μίμνερμος Λιγυρτιάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. γέγονε δὲ ἐπὶ τῆς λζ' ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ζ' σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. ἐκαλεῖτο δὲ καὶ Λιγυστιάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ. ἔγραψε βιβλία ταῦτα [πολλά]· . . .

DXXXIII. Μινουκιανὸς Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθη-

*ναῖος σοφιστής, γεγονὼς ἐπὶ Γαλιηνοῦ. τέχνην ῥητορικὴν καὶ προγυμνάσματα καὶ λόγους διαφόρους.*

DXXXIV. *Μνασέας Βηρύτιος. ἔγραψε τέχνην ῥητορικὴν καὶ περὶ Ἀττικῶν ὀνομάτων.*

DXXXV. *Μνησίμαχος ποιητὴς τῆς μέσης κωμῳδίας τῶν δραμάτων αὐτοῦ ἐστιν Ἱπποτρόφος, Βούσιρις, Φίλιππος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.*

DXXXVI. *Μόσχος Συρακούσιος γραμματικός, Ἀριστάρχου γνώριμος. οὗτός ἐστιν ὁ δεύτερος ποιητὴς μετὰ Θεόκριτον τὸν τῶν βουκολικῶν δραμάτων ποιητήν. ἔγραψε καὶ αὐτὸς . . .*

DXXXVII. *Μουσαῖος Ἐλευσίνιος ἐξ Ἀθηνῶν, υἱὸς Ἀντιφήμου (τοῦ Εὐφήμου τοῦ Ἐκφάντου τοῦ Κερκυόνος, ὃν κατεπολέμησεν ὁ Θησεύς) καὶ Ἑλένης γυναικός, ἐποποιός, μαθητὴς Ὀρφέως, μᾶλλον δὲ πρεσβύτερος. ἤκμαζε γὰρ κατὰ τὸν δεύτερον Κέκροπα καὶ ἔγραψεν ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ ἔπη ͵δ καὶ ἄλλα πλεῖστα.*

DXXXVIII. *Μουσαῖος Ἐφέσιος ἐποποιός, καὶ αὐτὸς εἷς τῶν τοῦ Περγαμηνοῦ κύκλου. ἔγραψε Περσηΐδος βιβλία ι' καὶ εἰς Εὐμενῆ καὶ Ἄτταλον.*

DXXXIX. *Μουσαῖος Θηβαῖος, Θαμύρα υἱὸς τοῦ Φιλάμμωνος, μελοποιός, γεγονὼς πολλῷ πρὸ τῶν Τρωικῶν. ἔγραψε μέλη καὶ ᾄσματα.*

DXL. *Μουσώνιος Καπίτωνος, Τυρρηνὸς πόλεως Βουλσινίου, διαλεκτικὸς φιλόσοφος καὶ Στωικός, γεγονὼς ἐπὶ Νέρωνος, γνώριμος δὲ Ἀπολλωνίου τοῦ Τυανέως καὶ ἄλλων πολλῶν· πρὸς ὃν καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου κἀκείνου πρὸς Ἀπολλώνιον. διὰ γοῦν τὴν παρρησίαν καὶ τὸ ἐλεγκτικὸν καὶ τὸ ὑπερβάλλον τῆς ἐλευθερίας ὑπὸ Νέρωνος ἀναιρεῖται. φέρονται αὐτοῦ λόγοι διάφοροι φιλοσοφίας ἐχόμενοι καὶ ἐπιστολαί.*

DXLI. *Μυῖα Θεσπιακὴ λυρική. μέλη πρὸς λύραν ἁρμόζοντα.*

DXLII. *Μυῖα Σπαρτιᾶτις ποιήτρια. ὕμνους εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν.*

DXLVIII. *Μυῖα* Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία.

DXLIV. *Μυρτίλος* Ἀθηναῖος κωμικός, υἱὸς μὲν Λύσιδος, ἀδελφὸς δὲ τοῦ κωμικοῦ Ἑρμίππου. δράματα αὐτοῦ Τιτανόπανες, Ἔρωτες.

DXLV. *Μυρὼ* Βυζαντία, ποιήτρια ἐπῶν καὶ ἐλεγείων καὶ μελῶν, Ὁμήρου τοῦ τραγικοῦ μήτηρ, γυνὴ δὲ Ἀνδρομάχου τοῦ ἐπικληθέντος Φιλολόγου.

DXLVI. *Μυρὼ* Ῥοδία φιλόσοφος. χρείας γυναικῶν βασιλίδων καὶ μύθους.

DXLVII. *Ναυσικράτης* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Ναύκληροι, Περσίς.

DXLVIII. *Νεάνθης* Κυζικηνὸς ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου.

DXLIX. *Νεοκλῆς* Ἀθηναῖος φιλόσοφος, ἀδελφὸς Ἐπικούρου. ὑπὲρ τῆς ἰδίας αἱρέσεως. ὅτι Νεοκλέους ἐστὶ τὸ ʻλάθε βιώσαςʼ.

DL. *Νεόφρων* ἢ *Νεοφῶν* Σικυώνιος τραγικός, οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν. ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς καὶ οἰκετῶν βάσανον. ἐδίδαξε δὲ τραγῳδίας ρκ΄. συνῆν δὲ τὰ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.

DLI. *Νέστωρ* Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως. Ἰλιάδα λειπογράμματον ἤτοι ἀστοιχείωτον (ὁμοίως δὲ αὐτῷ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν· ἔστι γὰρ ἐν τῇ πρώτῃ μὴ εὑρίσκεσθαι α΄, καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον), μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεύς, καὶ ἄλλα.

DLII. *Νικαγόρας* Μνησαίου ῥήτορος, Ἀθηναῖος σοφιστής. γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα. βίους ἐλλογίμων, περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι, πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

DLIII. *Νίκανδρος* Ξενοφάνους Κολοφώνιος, κατὰ δέ τινας Αἰτωλός, ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρός, γεγονὼς κατὰ τὸν νέον Ἄτταλον, ἤγουν τὸν τελευταῖον, ⟨οὗ⟩ τὸν Γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν. ἔγραψε Θηριακά, Ἀλεξιφάρμακα, Γεωργικά, Ἑτεροιουμένων βιβλία ε', ἰάσεων συναγωγήν, προγνωστικὰ δι' ἐπῶν (μεταπέφρασται δὲ ἐκ τῶν Ἱπποκράτους προγνωστικῶν), περὶ χρηστηρίων πάντων βιβλία γ' καὶ ἄλλα πλεῖστα ἐπικῶς.

DLIV. *Νικάνωρ* ὁ Ἑρμείου, Ἀλεξανδρεὺς γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος. περὶ στιγμῆς τῆς παρ' Ὁμήρῳ καὶ τῆς ἐξ αὐτῆς διαφορᾶς ἐν τῇ διανοίᾳ, περὶ στιγμῆς τῆς καθόλου βιβλία ς', ἐπιτομὴν τούτων βιβλίον α', περὶ στιγμῆς τῆς παρὰ Καλλιμάχῳ, κωμῳδούμενα, περὶ ναυστάθμου, περὶ τοῦ ὦναξ κα ἄλλα.

DLV. *Νικόλαος* Δαμασκηνός, γνώριμος Ἡρώδου τοῦ τῶν Ἰουδαίων βασιλέως καὶ Αὐγούστου Καίσαρος, φιλόσοφος περιπατητικὸς ἢ Πλατωνικός. ἔγραφεν ἱστορίαν καθολικὴν ἐν βιβλίοις π' καὶ τοῦ ⟨νέου⟩ Καίσαρος ἀγωγήν. [οὕτως δὲ ἠσπάσατο αὐτὸν Καῖσαρ, ὡς τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας [τῷ Καίσαρι, ἤγουν μελιττούτας,] Νικολάους αὐτὸν καλεῖν· καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον.] ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς.

DLVI. *Νικόλαος* ῥήτωρ, γνώριμος Πλουτάρχου καὶ Πρόκλου (Πλουτάρχου δὲ λέγω τοῦ ἐπίκλην Νεστορίου). ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβύτου καὶ ἕως Ζήνωνος καὶ Ἀναστασίου.

DLVII. *Νικόλαος* Μύρων τῆς Λυκίας, ἀδελφὸς Διοσκορίου γραμματικοῦ καὶ ὑπάρχου καὶ ὑπάτου καὶ πατρικίου, σοφιστεύσας καὶ αὐτὸς ἐν Κωνσταντινουπόλει, μαθητὴς γεγονὼς Λαχάρους. ἔγραψε τέχνην ῥητορικὴν καὶ μελέτας.

DLVIII. *Νικόμαχος* Ἀλεξανδρεὺς τῆς Τρωικῆς, τραγικός, γράψας τραγῳδίας ια', ὧν καὶ αἵδε· Ἀλέξανδρος, Ἐριφύλη

[ἢ] Γηρυόνης, Ἀλετίδης, | Εἰλείθυια |, Νεοπτόλεμος, Μυσοί, Οἰδίπους, Πέρσις ἢ Πολυξένη, | Τριλογία, Μετεκβαίνουσαι |, Τυνδάρεως [ἢ] Ἀλκμαίων, Τεῦκρος.

DLIX. Νικόμαχος Ἀθηναῖος τραγικός, ὃς Εὐριπίδην παραδόξως καὶ Θέογνιν ἐνίκησε. τῶν δραμάτων αὐτοῦ ἐστιν Οἰδίπους.

DLX. Νικόμαχος Σταγειρίτης φιλόσοφος, υἱὸς μὲν Ἀριστοτέλους τοῦ φιλοσόφου, μαθητὴς δὲ Θεοφράστου, ὡς δέ τινες, καὶ παιδικά. ἔγραψεν ἠθικῶν βιβλία ς' καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

DLXI. Νικόμαχος ἰατρός, καὶ αὐτὸς Σταγειρίτης, [Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός, ἐξ οὗ κατήγετο Νικόμαχος ὁ πατὴρ Ἀριστοτέλους τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός.] ἔγραψεν ἰατρικῶν βιβλία ς' καὶ φυσικῶν α'.

DLXII. Νικόστρατος κωμικός. τούτου μέμνηται Ἀθηναῖος ἐν β' Δειπνοσοφιστῶν, λέγει δὲ ὅτι δράματα αὐτοῦ ἐστι Πάνδροσος καὶ Ἄντυλλος, ὃς καὶ Φιλεταίρου δοκεῖ εἶναι, καὶ Ἱεροφάντης καὶ Κλίνη, ἔτι δὲ Ἅβρα καὶ Ἡσίοδος καὶ Διάβολος καὶ Ἀντερῶσα καὶ Ἑκάτη, Μάγειρος, Ὦτις, Πλοῦτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοστιγματίας καὶ Τοκιστής. ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα.

DLXIII. Νικόστρατος Μακεδὼν ῥήτωρ. ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπιδευτέροις δέκα ῥήτορσι, σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε Δεκαμυθίαν, Εἰκόνας, Πολυμυθίαν, Θαλαττουργοὺς καὶ ἄλλα πλεῖστα, καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.

DLXIV. Νικοφῶν Θήρωνος Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριστοφάνους τοῦ κωμικοῦ. τῶν δραμάτων αὐτοῦ καὶ ταῦτα· Ἐξ Ἅιδου ἀνιών, Ἀφροδίτης γοναί, Πανδώρα, Ἐγχειρογάστορες, Σειρῆνες.

DLXV. Νικοχάρης Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος κωμικός, σύγχρονος Ἀριστοφάνους. τῶν δραμάτων αὐτοῦ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγός, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάστορες.

DLXVI. *Νόννος Πανοπολίτης* ἐξ Αἰγύπτου, λογιώτατος, ὁ καὶ τὸν παρθένον Ἰωάννην παραφράσας δι' ἐπῶν.

DLXVII. *Νουμήνιος* Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. καὶ διὰ τοῦτό φησι 'τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων;'

DLXVIII. *Νουμήνιος* ῥήτωρ. περὶ τῶν τῆς λέξεως σχημάτων, ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

DLXIX. *Νύμφις* [Νύμφιδος] Ξεναγόρου, Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ', περὶ Ἡρακλείας βιβλία ιγ' (ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς ἐπιγόνους καὶ μέχρι τοῦ τρίτου Πτολεμαίου).

DLXX. *Ξάνθος* Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων. Λυδιακά, βιβλία δ'. ἐν δὲ τῷ β' τούτων ἱστορεῖ ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. οὗτος ἱστορεῖ ὁ Ξάνθος Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πραότατον ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. εἶτα ἐπειδὴ ζ' ἔτη ἦν τῷ Ἀλκίμῳ, προελθόντας τοὺς Λυδοὺς παγγενεί τε καὶ πανδημεὶ προσεύξασθαι καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε, καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον.

DLXXI. *Ξέναρχος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Βουταλίων, ὡς Ἀθήναιός φησιν ἐν β' τῶν Δειπνοσοφιστῶν, καὶ Πορφύρα καὶ Σκύθαι, ὡς ὁ αὐτός, καὶ Δίδυμοι καὶ Πένταθλος καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

DLXXII. *Ξενοκράτης* Ἀγάθωνος ἢ Ἀγαθάνορος, Χαλκηδόνιος, μαθητὴς καὶ διάδοχος μετὰ Σπεύσιππον Πλάτωνος (τοῦ δὲ Πολέμων, τοῦ δὲ Κράντωρ). καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τάλαντα λ' αὐτὸς ἀπέπεμψεν, εἰπὼν βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. ἔγραψε περὶ τῆς Πλάτωνος πολιτείας.

DLXXIII. ⟨*Ξενοκράτης* Ἀφροδισιεύς.⟩ οὗτος συνεγρά-

ψατο τὸ οἰκοσκοπικὸν οἰώνισμα, ὅτι οἷον εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις, τόδε σημαίνει.

DLXXIV. Ξενοφῶν Γρύλλου Ἀθηναῖος, φιλόσοφος Σωκρατικός, ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος καὶ ἤκμαζε κατὰ τὴν ϛε' ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν καὶ ταῦτα· Κύρου παιδείας βιβλία η', Κύρου ἀναβάσεως βιβλία ζ', Ἑλληνικῶν βιβλία ζ', συμπόσιον καὶ ἄλλα πολλά.

DLXXV. Ξενοφῶν Ἀντιοχεὺς ἱστορικός. Βαβυλωνιακά (ἔστι δὲ ἐρωτικά).

DLXXVI. Ξενοφῶν Ἐφέσιος ἱστορικός. Ἐφεσιακά (ἔστι δὲ ἐρωτικὰ βιβλία ι' περὶ Ἀβροκόμου καὶ Ἀνθίας) καὶ περὶ τῆς πόλεως Ἐφεσίων καὶ ἄλλα.

DLXXVII. Ξενοφῶν Κύπριος ἱστορικός. Κυπριακά (ἔστι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱστορία περί τε Κινύραν καὶ Μύρραν καὶ Ἄδωνιν).

DLXXVIII. Οἰνόμαος Γαδαρεύς, φιλόσοφος κυνικός, γεγονὼς οὐ πολλῷ πρεσβύτερος Πορφυρίου. περὶ κυνισμοῦ, πολιτείαν, περὶ τῆς καθ' Ὅμηρον φιλοσοφίας, περὶ Κράτητος καὶ Διογένους καὶ τῶν λοιπῶν.

DLXXIX. Ὀλυμπιόδωρος φιλόσοφος Ἀλεξανδρεύς, οὗ κλέος εὐρύ. παρὰ τοῦτον φοιτᾷ Πρόκλος ὁ Λύκιος ἐπ' Ἀριστοτελικοῖς λόγοις. Ὀλυμπιοδώρου δὲ ἀκροώμενος, ἀνδρὸς δυνατοῦ λέγειν καὶ διὰ τὴν περὶ τοῦτο εὐκολίαν καὶ ἐντρέχειαν ὀλίγοις τῶν ἀκουόντων ὄντος ἐφικτοῦ· ἠγάσθη δὲ τὸ μειράκιον, ὥστε καὶ θυγάτριον ἔχων, ἠγμένον καὶ αὐτὸ φιλοσόφως, βουληθῆναι αὐτῷ κατεγγυῆσαι.

DLXXX. Ὄλυμπος Μαίονος Μυσός, αὐλητὴς καὶ ποιητὴς μελῶν καὶ ἐλεγείων, ἡγεμών τε γενόμενος τῆς κρουματικῆς μουσικῆς τῆς διὰ τῶν αὐλῶν, μαθητὴς καὶ ἐρώμενος Μαρσύου, τὸ γένος ὄντος Σατύρου, ἀκουστοῦ δὲ καὶ παιδὸς Ὑάγνιδος. γέγονε δὲ πρὸ τῶν Τρωικῶν ὁ Ὄλυμπος, ἐξ οὗ τὸ ὄρος τὸ ἐν Μυσίᾳ ὀνομάζεται.

DLXXXI. Ὄλυμπος Φρύξ, νεώτερος, αὐλητὴς γεγονὼς ἐπὶ Μίδου τοῦ Γορδίου.

DLXXXII. Ὅμηρος ὁ ποιητὴς Μέλητος τοῦ ἐν Σμύρνῃ ποταμοῦ καὶ Κριθηίδος ⟨νύμφης⟩, ὡς δὲ ἄλλοι, Ἀπόλλωνος καὶ Καλλιόπης τῆς Μούσης, ὡς δὲ Χάραξ ὁ ἱστορικός, Μαίονος ἢ Μητίου καὶ Εὐμήτιδος μητρός, κατὰ δὲ ἄλλους Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Πολυκάστης τῆς Νέστορος. [ἔστι δὲ ἡ τοῦ γένους τάξις κατὰ τὸν ἱστορικὸν Χάρακα αὕτη· Αἰθούσης Θράσσης Λίνος, τοῦ δὲ Πίερος, τοῦ δὲ Οἴαγρος, τοῦ δὲ Ὀρφεύς, τοῦ δὲ Δρῆς, τοῦ δὲ Εὐκλέης, τοῦ δὲ Ἰδμονίδης, τοῦ δὲ Φιλοτέρπης, τοῦ δὲ Εὔφημος, τοῦ δ' Ἐπιφράδης, τοῦ δὲ Μελάνωπος, τοῦ δὲ Ἀπελλῆς, τοῦ δὲ Μαίων, ὃς ἦλθεν ἅμα ταῖς Ἀμαζόσιν ἐν Σμύρνῃ, καὶ γήμας Εὔμητιν τὴν Εὐέπους τοῦ Μελησιγένους ἐποίησεν Ὅμηρον. ὁμοίως δὲ καὶ τὴν πατρίδα ἀμφίβολος διὰ τὸ ἀπιστηθῆναι ὅλως εἶναι θνητὸν τῷ μεγέθει τῆς φύσεως· οἱ μὲν γὰρ ἔφασαν γενέσθαι Σμυρναῖον, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφώνιον, οἱ δὲ Ἰήτην, οἱ δὲ Κυμαῖον, οἱ δὲ ἐκ Τροίας ἀπὸ χωρίου Κεγχρεῶν, οἱ δὲ Λυδόν, οἱ δὲ Ἀθηναῖον, οἱ δὲ Ἰθακήσιον, οἱ δὲ Κύπριον, οἱ δὲ Σαλαμίνιον, οἱ δὲ Κνώσσιον, οἱ δὲ Μυκηναῖον, οἱ δὲ Αἰγύπτιον, οἱ δὲ Θετταλόν, οἱ δὲ Ἰταλιώτην, οἱ δὰ Λευκανόν, οἱ δὲ Γρύνιον, οἱ δὲ Ῥωμαῖον, οἱ δὲ Ῥόδιον. καὶ προσηγορεύετο μὲν κυρίως Μελησιγένης (καὶ γὰρ ἐτέχθη παρὰ τῷ Μέλητι ποταμῷ κατὰ τοὺς Σμυρναῖον αὐτὸν γενεαλογοῦντας), ἐκλήθη δὲ Ὅμηρος διὰ τὸ πολέμου ἐνισταμένου Σμυρναίοις πρὸς Κολοφωνίους ὅμηρος δοθῆναι, ἢ ὅτι βουλευομένων Σμυρναίων δαιμονίᾳ τινὶ ἐνεργείᾳ φθέγξασθαι καὶ συμβουλεῦσαι ἐκκλησιάζουσι περὶ τοῦ πολέμου. καὶ γέγονε δὲ πρὸ τοῦ τεθῆναι τὴν α' ὀλυμπιάδα πρὸ ἐνιαυτῶν νζ'. Πορφύριος δὲ ἐν τῇ φιλοσόφῳ ἱστορίᾳ πρὸ ρλβ' φησίν. ἐτέθη δὲ αὕτη μετὰ τὴν Τροίας ἅλωσιν ἐνιαυτοῖς ὕστερον υζ'. τινὲς δὲ μετὰ ρξ' μόνους ἐνιαυτοὺς τῆς Ἰλίου ἁλώσεως τετέχθαι ἱστοροῦσιν Ὅμηρον, ὁ δὲ ῥηθεὶς Πορφύριος μετὰ σοε'. γήμας δ' ἐν Χίῳ Ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίου θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα, ἣν ἔγημε Στασῖνος ὁ Κύπριος· οἱ δὲ υἱεῖς Εὐρυφῶν καὶ Θεόλαος.] ποιήματα δὲ αὐτοῦ ἀναμφίλεκτα Ἰλιὰς καὶ Ὀδύσσεια. ἔγραφε δὲ τὴν Ἰλιάδα οὐχ ἅμα, οὐδὲ κατὰ τὸ συνεχές, καθάπερ σύγκειται, ἀλλ' αὐτὸς μὲν ἑκάστην ῥαψῳδίαν γράψας καὶ ἐπιδειξάμενος

ἐν τῷ περινοστεῖν τὰς πόλεις τροφῆς ἕνεκεν ἀπέλιπεν· ὕστερον δὲ συνετέθη καὶ συνετάχθη ὑπὸ πολλῶν καὶ μάλιστα ὑπὸ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου. ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα, Ἀμαζόνια, Ἰλιὰς μικρά, Νόστοι, Ἐπικιχλίδες, Ἠθιέπακτος ἤτοι Ἴαμβοι, Βατραχομαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμίς, Ἀμφιαράου ἐξέλασις, Παίγνια, Οἰχαλίας ἅλωσις, Ἐπιθαλάμια, Κύκλος, ὕμνοι, Κύπρια. γηραιὸς δὲ τελευτήσας ἐν τῇ νήσῳ τῇ Ἴῳ τέθαπται, τυφλὸς ἐκ παίδων γεγονώς· τὸ δέ ἀληθές, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἄρχεται, καὶ παρὰ τοῦτο ἱστορήθη τυφλός. ἐπιγέγραπται δὲ ἐν τῷ τάφῳ αὐτοῦ τόδε τὸ ἐλεγεῖον, ὃ ὑπὸ τῶν Ἰητῶν ἐποιήθη [χρόνῳ,] 'ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει, ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον'.

DLXXXIII. Ὅμηρος Ἀνδρομάχου καὶ Μυροῦς Βυζαντίας, γραμματικὸς καὶ τραγῳδιῶν ποιητής, διὸ συνηριθμήθη τοῖς ἑπτά, οἳ τὰ δευτερεῖα τῶν τραγικῶν ἔχουσι καὶ ἐκλήθησαν ⟨οἱ⟩ τῆς Πλειάδος. ἤκμαζεν ὀλυμπιάδι ρκδ'. ἔγραψε δὲ τραγῳδίας με'.

DLXXXIV. Ὅμηρος ⟨ὁ⟩ Σέλλιος χρηματίσας, γραμματικός. ἐποίησε τάδε· | ὕμνους, παίγνια |, δι' ἐπῶν εἴδη πλεῖστα, [καὶ] καταλογάδην περὶ τῶν κωμικῶν προσώπων, περιοχὰς τῶν Μενάνδρου δραμάτων.

DLXXXV. Ὀνάσιμος, Κύπριος ἢ Σπαρτιάτης, | ἱστορικὸς καὶ | σοφιστής, τῶν ἐπὶ Κωνσταντίνου γενομένων. ἔγραψε στάσεων διαιρέσεις, τέχνην δικανικὴν πρὸς Ἀψίνην, περὶ ἀντιρρητικῆς τέχνης, προγυμνάσματα, μελέτας, ἐγκώμια καὶ ἄλλα πλεῖστα.

DLXXXVI. Ὀνήσιμος . . . ὠφέλιμος. καὶ ὄνομα κύριον.

DLXXXVII. Ὀνόσανδρος φιλόσοφος Πλατωνικός. τακτικά, περὶ στρατηγημάτων, ὑπομνήματα εἰς τὴν Πλάτωνος πολιτείαν . . .

DLXXXVIII. Ὀππιανὸς Κίλιξ ἀπὸ Κωρύκου πόλεως, γραμματικὸς καὶ ἐποποιός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου βασιλέως. ἁλιευτικὰ ἐν βιβλίοις ε', κυνηγετικὰ ἐν βιβλίοις δ', ἰξευτικὰ βιβλία β'. ἀναγνωσθέντων δὲ τῶν ποιημάτων αὐτοῦ ἐπὶ τοῦ αὐτοκράτορος, ἐδωρήσατο αὐτῷ πρὸς ἕνα στίχον ἐν μέτρῳ στατῆρα χρυσοῦν, ἤγουν νόμισμα, ὡς λαβεῖν αὐτὸν ἐπὶ πᾶσι νομισμάτων μυριάδας β'.

DLXXXIX. Ὀρειβάσιος Σαρδιανός, γνώριμος Ἰουλιανοῦ τοῦ Ῥωμαίων βασιλέως, καὶ κοιαίστωρ ὑπ' αὐτοῦ κατασταθεὶς Κωνσταντίνου πόλεως. ἔγραψε πρὸς τοὺς ἀποροῦντας τῶν ἰατρῶν βιβλία δ', πρὸς Ἰουλιανὸν τὸν βασιλέα βιβλία οβ', ἐπιτομὴν αὐτῶν ἐν βιβλίοις θ', πρὸς Εὐστάθιον τὸν υἱὸν [καὶ] περὶ βασιλείας καὶ περὶ παθῶν.

DXC. Ὀρφεὺς Λειβήθρων τῶν ἐν Θρᾴκῃ (πόλις δέ ἐστιν ὑπὸ τῇ Πιερίᾳ), υἱὸς Οἰάγρου καὶ Καλλιόπης· ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ. γέγονε δὲ πρὸ ια' γενεῶν τῶν Τρωικῶν, καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου, βιῶναι δὲ γενεὰς θ', οἱ δὲ ια' φασίν. ἔγραψε τριασμούς (λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ ἱεροστολικὰ καλούμενα), κλίσεις κοσμικάς, νεοτευκτικά, ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδ' (λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου), χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον, τελετάς (ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου), ⟨λιθικά⟩ (ἐν τούτοις δ' ἔστι περὶ λίθων γλυφῆς, ἥτις ὀγδοηκοντάλιθος ἐπιγράφεται), σωτήρια (ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται ἢ Περσίνου τοῦ Μιλησίου), κρατῆρας (ταῦτα Ζωπύρου φασί), θρονισμοὺς μητρῴους καὶ βακχικά (ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι), εἰς Ἅιδου κατάβασιν (ταῦτα Ἡροδίκου τοῦ Περινθίου), πέπλον καὶ δίκτυον (καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροντίνου), ὀνομαστικὸν ἔπη ͵ασ', θεογονίαν ἔπη ͵ασ', ἀστρονομίαν, ἀμοκοπίαν θυηπολικόν, ᾠοθυτικὰ ἢ ᾠοσκοπικὰ ἐπικῶς, καταζωστικόν, ὕμνους, κορυβαντικὸν καὶ φυσικά, ἃ Βροντίνου φασίν.

DXCI. Ὀρφεὺς Κικοναῖος ἢ Ἀρκὰς ⟨ἢ⟩ ἐκ Βισαλτίας τῆς Θρᾳκικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου, δύο γενεαῖς πρεσβύτερος τῶν Τρωικῶν. ἔγραψε δὲ μυθοποιίαν, ἐπιγράμματα, ὕμνους.

DXCII. Ὀρφεὺς Ὀδρύσης ἐποποιός. Διονύσιος δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει. ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.

DXCIII. Ὀρφεὺς Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν γραμματικῶν. Δεκαετηρίδα, Ἀργοναυτικὰ καὶ ἄλλα τινά.

DXCIV. Ὀρφεὺς Καμαριναῖος ἐποποιός, οὗ φασιν εἶναι τὴν εἰς Ἅιδου κατάβασιν.

DXCV. Οὔαρος Λαοδικεὺς σοφιστής, σύγχρονος Πολέμωνος καὶ ἄλλων.

DXCVI. Οὐηστῖνος ⟨ὁ⟩ Ἰούλιος χρηματίσας, σοφιστής. ἐπιτομὴν τῶν Παμφίλου γλωσσῶν βίβλους δ', ἐκλογὴν ὀνομάτων ἐκ τῶν Δημοσθένους βιβλίων, ἐκλογὴν ἐκ τῶν Θουκυδίδου, Ἰσαίου, Ἰσοκράτους καὶ Θρασυμάχου τοῦ ῥήτορος καὶ τῶν ἄλλων ῥητόρων.

DXCVII. Οὐλπιανὸς Ἐμεσηνὸς σοφιστής. πάτρια Ἐμεσηνῶν, Ἡλιουπόλεως, Βοσποριατῶν καὶ ἄλλων πλείστων, προγυμνάσματα, τέχνην ῥητορικήν.

DXCVIII. Οὐλπιανὸς Ἀντιοχεὺς τῆς Συρίας, σοφιστής, παιδεύσας πρότερον εἰς Ἔμεσαν ἐν τοῖς κατὰ τὸν βασιλέα Κωνσταντῖνον χρόνοις. λόγους διαφόρους, μελέτας, διαλέξεις καὶ ἄλλα τινά.

DXCIX. Οὐλπιανὸς Γαζαῖος. . . .

DC. Παγκράτιος σοφιστής. εἰς τὴν Μινουκιανοῦ τέχνην ὑπόμνημα.

DCI. Παγκράτιος. τούτου φέρονται Ὀψαρτυτικὰ καθ' ἑκάστην τροφήν. ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου καὶ ἕως Ζήνωνος.

DCII. Πάκατος, ὁ Μινούκιος χρηματίσας, ⟨ὁ⟩ καὶ Εἰρηναῖος, Ἀλεξανδρεὺς γραμματικός. περὶ τῆς Ἀλεξανδρέων διαλέκτου ἢ περὶ ἑλληνισμοῦ βιβλία ζ' (ἔστι δὲ κατὰ στοιχεῖον), περὶ Ἀττικῆς συνηθείας τῆς ἐν λέξει καὶ προσῳδίᾳ βιβλία γ' (ἔστι δὲ κατὰ στοιχεῖον), περὶ ἰδιωμάτων τῆς Ἀττικῆς καὶ τῆς Δωρίδος διαλέκτου, περὶ ἀττικισμοῦ καὶ ἄλλα πολλά.

DCIII. Παλαίφατος Ἀθηναῖος ἐποποιός, υἱὸς Ἀκταίου καὶ Βοιοῦς, οἱ δὲ Ἰοκλέους φασὶ καὶ Μετανείρας, οἱ δὲ Ἑρμοῦ. γέγονε δὲ κατὰ μέν τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους καὶ

πρὸ αὐτῆς. ἔγραψε δὲ κοσμοποιίαν εἰς ἔπη ,ε, Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονάς, ἔπη ,γ, Ἀφροδίτης καὶ Ἔρωτος φωνὰς καὶ λόγους, ἔπη ,ε, Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος, ἔπη ,α, Λητοῦς πλόκαμον.

DCIV. Παλαίφατος Πάριος ἢ Πριηνεύς, γεγονὼς κατὰ Ἀρταξέρξην. ἀπίστων βιβλία ε' (τινὲς δὲ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι). πλὴν καὶ οὗτος ἔγραψε. . . .

DCV. Παλαίφατος Ἀβυδηνὸς ἱστορικός. Κυπριακά, Δηλιακά, Ἀττικά, Ἀραβικά. | γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῷ ε' στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίου α' καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν β' Τρωικῶν. |

DCVI. Παλαίφατος Αἰγύπτιος | ἢ Ἀθηναῖος |, γραμματικός. Αἰγυπτιακὴν θεολογίαν, | μυθικῶν βιβλίον α', λύσεις τῶν μυθικῶς εἰρημένων, ὑποθέσεις εἰς Σιμωνίδην, Τρωικά, ἅ τινες εἰς τὸν Ἀθηναῖον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἱστορίαν ἰδίαν. |

DCVII. Παλαμήδης Ἐλεατικὸς γραμματικός. κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

DCVIII. Παλαμήδης Ναυπλίου καὶ Κλυμένης, Ἀργεῖος ἐποποιός. ἦν δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός, ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικήν, καὶ εὑρετὴς γέγονε τοῦ ζ' στοιχείου καὶ τοῦ θ' καὶ τοῦ φ' καὶ τοῦ χ', ψήφων τε καὶ πεσσῶν καὶ κύβων καὶ μέτρων καὶ σταθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν <καὶ ὑπὸ τοῦ Ὁμήρου>. **ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι, καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην ποιήσασθαι.**

DCIX. Παλλάδιος Παλλαδίου Μεθωναῖος σοφιστής. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν, διαλέξεις, λόγους διαφόρους, Ὀλυμπιακόν, πανηγυρικόν, δικανικόν.

DCX. Παμπρέπιος Πανοπολίτης, ἐπῶν ποιητής, ἀκμά-

σας κατὰ Ζήνωνα τὸν βασιλέα. ἔγραψεν ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ καταλογάδην.

DCXI. *Παμφίλη* Ἐπιδαυρία σοφή, θυγάτηρ Σωτηρίδου, οὗ λέγεται εἶναι καὶ τὰ συντάγματα, ὡς Διονύσιος ἐν τῷ λʹ τῆς μουσικῆς ἱστορίας, ὡς δὲ ἕτεροι γεγράφασι, Σωκρατίδα τοῦ ἀνδρὸς αὐτῆς. ἱστορικὰ ὑπομνήματα ἐν βιβλίοις λγʹ, ἐπιτομὴν τῶν Κτησίου ἐν βιβλίοις γʹ, ἐπιτομὰς ἱστοριῶν τε καὶ ἑτέρων βιβλίων παμπλείστας, περὶ ἀμφισβητήσεων, | περὶ ἀφροδισίων | καὶ ἄλλων πολλῶν.

DCXII. *Πάμφιλος* Ἀλεξανδρεύς, γραμματικὸς Ἀριστάρχειος. ἔγραψε λειμῶνα (ἔστι δὲ ποικίλων περιοχή) περὶ γλωσσῶν ἤτοι λέξεων βιβλία ϛεʹ (ἔστι δὲ ἀπὸ τοῦ ε στοιχείου ἕως τοῦ ω· τὰ γὰρ ἀπὸ τοῦ α μέχρι τοῦ δ Ζωπυρίων ἐπεποιήκει), εἰς τὰ Νικάνδρου ἀνεξήγητα, [καὶ] τὰ καλούμενα Ὀπικά, τέχνην κριτικὴν καὶ ἄλλα πλεῖστα γραμματικά.

DCXIII. *Πάμφιλος* Ἀμφιπολίτης ἢ Σικυώνιος | ἢ Νικοπολίτης, φιλόσοφος |, || ὁ ἐπικληθεὶς Φιλογράμματος ||, εἰκόνας κατὰ στοιχεῖον, || τέχνην γραμματικήν ||, περὶ γραφικῆς καὶ ζωγράφων ἐνδόξων, | γεωργικὰ βιβλία γʹ |.

DCXIV. *Παναίτιος* Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος, οὗ πολὺς ἐν φιλοσόφοις λόγος. φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα.

DCXV. *Παναίτιος* ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος, φιλόσοφος Στωικός, Διογένους γνώριμος, ὃς καθηγήσατο καὶ Σκηπίωνος τοῦ ἐπικληθέντος Ἀφρικανοῦ μετὰ Πολύβιον Μεγαλοπολίτην. ἐτελεύτησε δ' ἐν Ἀθήναις.

DCXVI. *Πανόλβιος* ἐπῶν ποιητής. ἔγραψε διάφορα, καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν καὶ πρὸς Ἐρύθριον καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα καὶ εἰς Ἀφθόνιον κόμητα καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθρίου.

DCXVII. *Πανύασις* Πολυάρχου Ἁλικαρνασσεύς, | τερατοσκόπος καὶ | ποιητὴς ἐπῶν. οὗτος σβεσθεῖσαν τὴν ποιητικὴν ἀνήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον· ὁμοίως δὲ καὶ Ἡρόδοτον Θούριον. ἱστόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος· γέγονε γὰρ Πανύασις Πολυάρ-

χου, ὁ δὲ Ἡρόδοτος Λύξου τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ τὴν μητέρα Ἡροδότου Πανυάσιδος ἀδελφὴν ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη' ὀλυμπιάδα, κατὰ δέ τινας πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον, κατὰ δέ τινας καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ', εἰς ἔπη ͵θ, Ἰωνικὰ ἐν πενταμέτρῳ (ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ͵ζ.

DCXVIII. Πανύασις Ἁλικαρνασσεὺς νεώτερος, φιλόσοφος. περὶ ὀνείρων βιβλία β'.

DCXIX. Πάξαμος . . . λόγιος. Ὀψαρτυτικὰ κατὰ στοιχεῖον, Βοιωτικὰ ἐν βιβλίοις β', Δωδεκάτεχνον (ἔστι δὲ περὶ αἰσχρῶν σχημάτων), Βαφικὰ βιβλία β', Γεωργικὰ β'.

DCXX. Πάππος Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον Θεοδόσιον τὸν βασιλέα, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαίου κανόνα. βιβλία δὲ αὐτοῦ· Χωρογραφία οἰκουμενική, εἰς τὰ δ' βιβλία τῆς Πτολεμαίου μεγάλης Συντάξεως ὑπόμνημα, Ποταμοὺς τοὺς ἐν Λιβύῃ, | Ὀνειροκριτικά. |

DCXXI. Παρθένιος Ἡρακλείδου καὶ Εὐδώρας (Ἕρμιππος δὲ Τήθας φησί), Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν, εἶτα ἠφείθη διὰ τὴν παίδευσιν καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. ἔγραψε δι' ἐλεγείας Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν γ' βιβλίοις καὶ ἄλλα πολλά.

DCXXII. Παρθένιος Χῖος ἐποποιός, υἱὸς Θέστορος, ὃς ἐπεκαλεῖτο Χάος, Ὁμήρου δὲ ἦν ἀπόγονος. ἐποίησεν εἰς Θέστορα τὸν ἑαυτοῦ πατέρα. | οὗτος ἔγραψε καὶ περὶ μεταμορφώσεων. |

DCXXIII. Παρμενίδης Πύρητος, Ἐλεάτης φιλόσοφος, μαθητὴς γεγονὼς Ξενοφάνους τοῦ Κολοφωνίου, ὡς δὲ Θεό-

φραστος, Ἀναξιμάνδρου τοῦ Μιλησίου. αὐτοῦ δὲ διάδοχοι ἐγένοντο Ἐμπεδοκλῆς τε ὁ καὶ φιλόσοφος καὶ ἰατρὸς καὶ Ζήνων ὁ Ἐλεάτης. ἔγραψε δὲ φυσιολογίαν δι' ἐπῶν καὶ ἄλλα τινὰ καταλογάδην, ὧν μέμνηται Πλάτων.

DCXXIV. Παῦλος Αἰγινήτης ἰατρός. ἔγραψεν ἰατρικὰ βιβλία διάφορα.

DCXXV. Παῦλος Τύριος ῥήτωρ, γεγονὼς κατὰ Φίλωνα τὸν Βύβλιον, ὃς ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως πρεσβεύσας μητρόπολιν τὴν Τύρον ἐποίησεν. ἔγραψε τέχνην ῥητορικήν, προγυμνάσματα, μελέτας.

DCXXVI. Παῦλος φιλόσοφος. εἰσαγωγὴν ἀστρολογίας καὶ ἀποτελεσματικά.

DCXXVII. Παῦλος Γερμηνὸς σοφιστὴς ὁ γράψας, ὅτι γε Λυσίου ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς, βιβλία β', ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου.

DCXXVIII. Παῦλος Αἰγύπτιος ἐκ τῆς Λύκων, σοφιστής, υἱὸς Βησαρίωνος τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου.

DCXXIX. Παυσανίας Καισαρεὺς σοφιστής, σύγχρονος Ἀριστείδου, οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. ἔγραψε περὶ συντάξεως βιβλίον α', προβλημάτων βιβλίον α' καὶ ἕτερα.

DCXXX. Παυσανίας Λάκων ἱστορικός. περὶ Ἑλλησπόντου, Λακωνικά, χρονικά, περὶ Ἀμφικτυόνων, περὶ τῶν ἐν Λάκωσιν ἑορτῶν.

DCXXXI. Πείσανδρος Πείσωνος καὶ Ἀρισταίχμας, Καμειραῖος ἀπὸ Ῥόδου (Κάμειρος γὰρ ἦν πόλις Ῥόδου). καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον, οἱ δὲ κατὰ τὴν λγ' ὀλυμπιάδα τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ· Ἡράκλεια ἐν βιβλίοις β' (ἔστι δὲ τὰ Ἡρακλέους ἔργα), ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀρίστεω τοῦ ποιητοῦ.

DCXXXII. *Πείσανδρος* Νέστορος τοῦ ποιητοῦ υἱός, Λαρανδεὺς ἢ Λυκάων, γεγονὼς ἐπὶ Ἀλεξάνδρου βασιλέως τοῦ Μαμαίας παιδός, ἐποποιὸς καὶ αὐτός. ἔγραψεν ἱστορίαν ποικίλην δι' ἐπῶν, ἣν ἐπιγράφει Ἡρωικῶν θεογαμιῶν, ἐν βιβλίοις ϛ', καὶ ἄλλα καταλογάδην.

DCXXXIII. *Περίανδρος* Κυψέλου Κορίνθιος, τῶν ζ' σοφῶν, γεγονὼς κατὰ τὴν λη' ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον, ἔπη δισχίλια. οὗτός ἐστι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀποθανών, ὡς καὶ τὸ ἐπ' αὐτῷ ἐπίγραμμα μαρτυρεῖ οὕτως ἔχον· 'μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός. καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη, οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.'

DCXXXIV. *Περικλῆς* Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος γραπτὸν λόγον ἐν δικαστηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου, καὶ αὐτὸς ἐρρύσατο αὐτὸν ἐκ θανάτου.

DCXXXV. *Περσαῖος* Κιτιεύς, φιλόσοφος Στωικός, ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. ἱστορίαν.

DCXXXVI. *Πέρσης* Ἀσκραῖος ἐποποιός, ἀδελφὸς Ἡσιόδου τοῦ ποιητοῦ.

DCXXXVII. *Πετόσιρις* Αἰγύπτιος φιλόσοφος. καθὰ Ἕλληνες καὶ Αἰγύπτιοι τὰ περὶ θεῶν διετάξαντο, ἐπιλογὰς ἐκ τῶν ἱερῶν βιβλίων, ἀστρολογούμενα καὶ περὶ τῶν παρ' Αἰγυπτίοις μυστηρίων.

DCXXXVIII. *Πέτρος* ὁ ῥήτωρ, ὁ καὶ Μάγιστρος, ἱστορικός. [πρεσβευτὴς ὡς Χοσρόην σταλεὶς μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη]. ἔγραψεν ἱστορίαν καὶ περὶ πολιτικῆς καταστάσεως.

DCXXXIX. *Πίγρης* Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός. ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω

γράψας· μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης'. ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.

DCXL. Πίνδαρος Θηβαῖος, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές (ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου), τινὲς δὲ καὶ Παγώνδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ξε' ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Δαΐφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς. αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα, ἐτῶν νε'. ἔγραψε δὲ ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, Προσόδια, Παρθένια, Ἐνθρονισμούς, Βακχικά, Δαφνηφορικά, Παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνους, δράματα τραγικὰ ιζ', ἐπιγράμματα ἐπικὰ καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.

ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι, καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλους ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν, ὅτι ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ Πινδάρου, ὥς φησιν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ ἀναβάσει Ἀλεξάνδρου.

DCXLI. Πίνδαρος Σκοπελίνου Θηβαῖος, καὶ αὐτὸς λυρικός, ἀνεψιὸς τοῦ προτέρου.

DCXLII. Πιττακὸς Μιτυληναῖος, υἱὸς Καϊκοῦ ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ' ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ζ' σοφῶν ὤν. ἔγραψε νόμους. [καὶ τῇ μβ' ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη, ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα 'καιρὸν γνῶθι'.] ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ' καὶ ὑπὲρ νόμων καταλογάδην.

DCXLIII. *Πλάτων* Ἀρίστωνος τοῦ Ἀριστοκλέους καὶ Περικτιόνης ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος· ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη ⟨Γλαύκωνος τοῦ Καλλαίσχρου τοῦ Κριτίου τοῦ⟩ Δρωπίδου τοῦ ποιητοῦ, ἀδελφοῦ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. καὶ Ἀρίστων δὲ ὁ Πλάτωνος πατὴρ ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. ἱστόρηται δέ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος· καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. ἐτέχθη δ' ἐν Αἰγίνῃ ἐν τῇ πη' ὀλυμπιάδι μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ ἐβίω ἔτη β' καὶ π'. τελευτᾷ δὲ ἐπὶ τῆς ρη' ὀλυμπιάδος, οὐδὲ γάμον τινὰ οὐδὲ ὁμιλίαν καθάπαξ σώματος εἰς πεῖραν δεξάμενος· εὐωχήθη δ' ἐν ἑορτῇ καὶ ὕπνῳν ἀπεβίω. καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίστωνι Ἀδείμαντος καὶ Γλαύκων καὶ Ποτώνη θυγάτηρ. καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ, ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τῷ Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν γράφει διθυράμβους καὶ τραγῳδίας. ἀπογνοὺς δὲ τούτων ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη η'· καὶ λόγος ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. προσηγορεύετο δὲ Ἀριστοκλῆς, διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον Πλάτων ἐπωνομάσθη, ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι. τρὶς δέ ἐν Σικελίᾳ Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου· ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς καὶ ἀφῆκε. διέτριβε δὲ ἐν τῇ Ἀκαδημείᾳ παιδεύων, καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε· Σπεύσιππος Ξενοκράτης, Πολέμων, Κράντωρ, Κράτης, Σωκρατίδης, Ἀρκεσίλαος, Λακύδης, Εὔανδρος Φωκαεύς, Δάμων, Λεοντεύς, Μοσχίων, Εὔανδρος Ἀθηναῖος, Ἡγησίνους, Καρνεάδης, Χαρμάδας. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νς', ὧν οἱ μέν εἰσι φυσιολογικοί, οἱ δὲ ἠθικοί, οἱ δὲ διαλεκτικοί. καὶ ἡ μὲν πολιτεία διαιρεῖται εἰς βιβλία ι', οἱ δὲ νόμοι εἰς ιβ'. τετραλογίαι δὲ λοιπαὶ θ'.

DCXLIV. *Πλάτων* Ἀθηναῖος κωμικός, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην καὶ Φρύνιχον, Εὔπολιν καὶ Φερεκρά-

την. δράματα δὲ αὐτοῦ κη' [ταῦτα]· Ἄδωνις, Ἀφ' ἱερῶν, Γρῦπες, Δαίδαλος, Ἑορταί, Ἑλλὰς ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακούμενος, Ἰώ, Κλεοφῶν, Λάιος, Λάκωνες ἢ ποιηταί, Μέτοικοι, Μύρμηκες, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Νὺξ μακρά, Ξάνται ἢ Κέρκωπες, Περιαλγής, Ποιητής, Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταί, Συμμαχία, Σκευαί, Σύρφαξ, Ὑπέρβολος, Φάων. ἔστι δὲ λαμπρὸς τὸν χαρακτῆρα, ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς. ὅτι καὶ Ἀνδροφόνος ἐστὶ δρᾶμα Πλάτωνος καὶ Συνεξαπατῶν, Πανηγυρισταὶ καὶ ἄλλα πλεῖστα.

DCXLV. Πλούταρχος Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἐπίπροσθεν. μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. ἔγραψε δὲ πολλά.

DCXLVI. Πλούταρχος Νεστορίου Ἀθηναῖος φιλόσοφος, διδάσκαλος Συριανοῦ τοῦ ἐξηγητοῦ γενομένου Πρόκλου τοῦ Λυκίου, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, οὗ Μαρῖνος διάδοχος. ἔγραψε πολλά.

DCXLVII. Πλωτῖνος Λυκοπολίτης, ἀπὸ φιλοσόφων, μαθητὴς μὲν Ἀμμωνίου τοῦ πρώην γενομένου σακκοφόρου, διδάσκαλος δὲ Ἀμελίου. οὗ Πορφύριος διήκουσε, τοῦ δὲ Ἰάμβλιχος, τοῦ δὲ Σώπατρος. ἐπὶ δὲ Γαλιηνοῦ γηραιὸς ὢν διέμεινεν ἄχρι χρόνων ζ' καὶ συνέταξε βιβλία νδ', ἅτινα κατὰ θ' βίβλους διήρηνται καὶ λέγονται ἐννεάδες ς'. γέγονε δὲ καὶ τὸ σῶμα ἀσθενὴς ὑπὸ τῆς ἱερᾶς νόσου. ἔγραψε καὶ ἄλλα.

DCXLVIII. Πολέμων Φιλοστράτου ἢ Φιλοκράτους, Ἀθηναῖος φιλόσοφος, μαθητὴς Ξενοκράτους τοῦ Πλάτωνος διαδόχου, καὶ αὐτὸς ἡγησάμενος τῆς Ἀκαδημείας. ἐγεγόνει δὲ σφόδρα ἄσωτος, εἶτα ἐφιλοσόφησε. καὶ πολλὰ μὲν συνέγραψε βιβλία, οὐδὲν δὲ αὐτοῦ φέρεται. ἔχαιρε δὲ Ὁμήρῳ τε καὶ Σοφοκλεῖ, καὶ ἴσως ἔχειν ἑκάτερον αὐτῶν σοφίας ἔλεγεν, ὥστε καὶ φάσκειν Ὅμηρον μὲν Σοφοκλέα ἐπικόν, Σοφοκλέα δὲ Ὅμηρον τραγικόν.

DCXLIX. Πολέμων Εὐηγέτου Ἰλιεύς, ⟨ἐκ⟩ κώμης Γλυκείας [ὄνομα], Ἀθήνησι δὲ πολιτογραφηθείς, [διὸ ἐπεγράφετο Ἑλλαδικός], ὁ κληθεὶς περιηγητής, ἱστορικός. γέγονε δὲ κατὰ

*Πτολεμαῖον τὸν Ἐπιφανῆ. κατὰ δὲ Ἀσκληπιάδην τὸν Μυρλεανὸν συνεχρόνισεν Ἀριστοφάνει τῷ γραμματικῷ καὶ διήκουσε καὶ τοῦ Ῥοδίου Παναιτίου. ἔγραψε περιήγησιν Ἰλίου ἐν βιβλίοις γ', ⟨τὰ πρὸς Ἀδαῖον καὶ Ἀντίγονον⟩, κτίσεις τῶν ἐν Φωκίδι πόλεων καὶ περὶ τῆς πρὸς Ἀθηναίους συγγενείας [αὐτῶν κτίσεις] τῶν ἐν Πόντῳ πόλεων, περὶ τῶν ἐν Λακεδαίμονι καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ κοσμικὴν περιήγησιν ἤτοι γεωγραφίαν.*

DCL. *Πολέμων Λαοδικεύς, ἤγουν ἐκ Λαοδικείας τῆς πρὸς τῷ Λύκῳ ποταμῷ, ῥήτωρ καὶ σοφιστής, σοφιστεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριστείδου τοῦ ῥήτορος. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ μετ' αὐτόν, μαθητὴς δὲ ἐγένετο Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ φιλοσόφου καὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. ἐτελεύτησε δὲ ϛ' καὶ ν' ἐνιαυτῶν. ἑαυτὸν ἐν τῷ τάφῳ ἐμβαλὼν καὶ ἀποκαρτερήσας διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ. διὸ καὶ τῶν συγγενῶν καὶ φίλων θρηνούντων λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα 'δότε μοι [ἕτερον] σῶμα καὶ μετεμβήσομαι'. καὶ τοῖς ἰατροῖς ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν 'ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα'.*

DCLI. *Πολέμων ὁ νεώτερος σοφιστής. γέγονε καὶ αὐτὸς ἐπὶ Κομόδου.*

DCLII. *Πόλλης Αἰγαιεὺς ἀπὸ Αἰγῶν τῆς Ἀσίας (κεῖται δὲ πλησίον Μαγνησίας καὶ Σμύρνης), φιλόσοφος. ἔγραψε κατὰ στοιχεῖον συμβολικὰ ἐν βιβλίοις β', οἰωνοσκοπικὰ ἐν βιβλίοις η', ἀριθμητικὰ ἐν βιβλίοις β', ἰήματα ἐν βιβλίοις β', περὶ τῆς καθ' Ὅμηρον οἰωνοπολίης, περὶ τῆς παρὰ Τυρρηνοῖς μαντικῆς, ἰατροσυμβολικά, περὶ δρυοκολάπτου ἱερὸν λόγον, κατοικιδίων α', θηρευτικόν, συμπαθειῶν καὶ ἀντιπαθειῶν γ', περὶ κεραυνῶν καὶ τῆς αὐτῶν παρατηρήσεως καὶ ἄλλα.*

DCLIII. *Πολύαινος Σαρδιανὸς σοφιστής, γεγονὼς ἐπὶ τοῦ πρώτου Καίσαρος Γαΐου. λόγους δικανικούς [καὶ] δικῶν ἤτοι συνηγοριῶν ὑποτυπώσεις, θριάμβου Παρθικοῦ βιβλία γ' καὶ ἄλλα.*

DCLIV. *Πολύαινος Μακεδὼν ῥήτωρ. περὶ Θηβῶν, τακτικὰ βιβλία γ'.*

DCLV. *Πολύβιος* Λύκου υἱός, ἀπὸ Μεγάλης πόλεως τῆς Ἀρκαδίας, καθηγησάμενος Σκηπίωνος τοῦ Ἀφρικανοῦ, ὅτε καὶ Παναίτιος ὁ φιλόσοφος, γεγονὼς κατὰ Πτολεμαῖον τὸν ἐπικληθέντα Εὐεργέτην. οὗτος ἔγραψε τὴν μακρὰν ἱστορίαν Ῥωμαϊκὴν ἐν βιβλίοις μ' (ἄρχεται δὲ ἀπὸ τῆς φυγῆς Κλεομένους τοῦ Σπαρτιάτου καὶ τῆς Φιλίππου τοῦ Περσέως υἱοῦ διαδοχῆς τῶν Μακεδόνων, τὰ ἑξῆς ἐπισυνάπτων Ῥωμαίων). [ἰστέον, ὅτι] διαδέχεται ⟨δὲ⟩ τὴν Πολυβίου ἱστορίαν Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστής. ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον ἐν βιβλίοις μγ'.

DCLVI. *Πολυδεύκης* Ναυκρατίτης, τινὲς δὲ Ἀρδουέννας σοφιστὴν γράφουσι πταίοντες (πόλις δὲ Φοινίκης ἡ Ἀρδούεννα). ἐπαίδευσε δὲ ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως, καὶ ἐτελεύτησεν ἔτη βιοὺς η' καὶ ν' συντάξας βιβλία ταῦτα· ὀνομαστικὸν ἐν βιβλίοις ι' (ἔστι δὲ συναγωγὴ τῶν διαφόρως κατὰ τοῦ αὐτοῦ λεγομένων), διαλέξεις ἤτοι λαλιάς, μελέτας, εἰς Κόμοδον Καίσαρα ἐπιθαλάμιον, Ῥωμαϊκὸν λόγον, σαλπιγκτὴν ἢ ἀγῶνα μουσικόν, κατὰ Σωκράτους, κατὰ Σινωπέων, Πανελλήνιον, Ἀραδικὸν καὶ ἕτερα.

DCLVII. *Πολύευκτος* κωμικός. τούτου δρᾶμά ἐστιν Ἡνίοχος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς φησιν.

DCLVIII. *Πολύζηλος* κωμικός. δράματα αὐτοῦ Νίπτρα, Δημοτυνδάρεως, Μουσῶν γοναί, Διονύσου γοναί, Ἀφροδίτης γοναί.

DCLIX. *Πολύκαρπος* Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου ἀκροατής, διάδοχος δὲ Βουκόλου τοῦ πρώτου ἐπισκοπήσαντος τῆς Σμυρναίων ἐκκλησίας, ὃς καὶ μετ' αὐτὸν τῆς ἐπισκοπῆς δεύτερος ἐκράτησε, καὶ μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ τετελείωται ἐπὶ Μάρκου Ἀντωνίνου. ἔγραψεν ἐπιστολὴν πρὸς Φιλιππησίους πάνυ θαυμαστὴν καὶ πρὸς τὸν μέγαν Διονύσιον τὸν Ἀρεωπαγίτην καὶ πρὸς ἄλλας ἐκκλησίας. οὗτος διά τινας αἰτίας τοῦ πάσχα, βασιλεύοντος Ἀντωνίνου τοῦ Πίου καὶ ἐπισκοποῦντος τῆς ἐκκλησίας Ῥώμης Ἀνικήτου, ἐπέστη τῇ Ῥώμῃ, ἐν ᾗ καὶ πολλοὺς τῷ δόγματι Μαρκίωνος καὶ Βαλεντίνου πιστεύσαντας ανε-

καλέσατο. ἀπαντήσαντος δὲ αὐτῷ ἐξ αὐτομάτου Μαρκίωνος, καὶ εἰρηκότος αὐτῷ 'γνώριζε ἡμᾶς, Πολύκαρπε', ἀπεκρίθη 'γνωρίζω σε πρωτότοκον τοῦ διαβόλου υἱόν'.

DCLX. Πολυκράτης Ἀθηναῖος ῥήτωρ δεινός τε καὶ τοὺς κατὰ Σωκράτους λόγους δύο Ἀνύτῳ καὶ Μελήτῳ γράψας.

DCLXI. Πορφύριος [ὁ κατὰ χριστιανῶν γράψας] Τύριος φιλόσοφος, ὃς κυρίως ἐκαλεῖτο Βασιλεύς, μαθητὴς [Ἀμελίου τοῦ] Πλωτίνου [μαθητοῦ] (ἦν δὲ καὶ Λογγίνου τοῦ κριτικοῦ ἀκροασάμενος), διδάσκαλος δὲ Ἰαμβλίχου, γεγονὼς ἐπὶ τῶν χρόνων Αὐρηλιανοῦ καὶ παρατείνας ἕως Διοκλητιανοῦ τοῦ βασιλέως. ἔγραψε βιβλία πάμπλειστα, φιλόσοφά τε καὶ ῥητορικὰ καὶ γραμματικά· περὶ θείων ὀνομάτων α', περὶ ἀρχῶν β', περὶ ὕλης ς', περὶ ψυχῆς πρὸς Βόηθον ε', περὶ ἀποχῆς ἐμψύχων δ', περὶ τοῦ γνῶθι σαυτὸν δ', περὶ ἀσωμάτων, περὶ τοῦ μίαν εἶναι τὴν Πλάτωνος καὶ Ἀριστοτέλους αἵρεσιν ζ', εἰς τὴν Ἰουλιανοῦ τοῦ Χαλδαίου φιλοσόφου ἱστορίαν ἐν βιβλίοις δ', κατὰ χριστιανῶν λόγους ιε', περὶ τῆς Ὁμήρου φιλοσοφίας, πρὸς Ἀριστοτέλην περὶ τοῦ εἶναι τὴν ψυχὴν ἐντελέχειαν, φιλολόγου ἱστορίας βιβλία ε', περὶ γένους καὶ εἴδους καὶ διαφορᾶς καὶ ἰδίου καὶ συμβεβηκότος, περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν, περὶ τῆς ἐξ Ὁμήρου ὠφελείας τῶν βασιλέων βιβλία ι', συμμίκτων ζητημάτων ζ', εἰς τὸ Θουκυδίδου προοίμιον, πρὸς Ἀριστείδην ζ', | εἰς τὴν Μινουκιανοῦ τέχνην | καὶ ἄλλα πλεῖστα. | καὶ μάλιστα ἀστρονομούμενα, ἐν οἷς καὶ εἰσαγωγὴν ἀστρονομουμένων ἐν βιβλίοις γ' | καὶ γραμματικὰς ἀπορίας. οὗτός ἐστιν ὁ Πορφύριος ὁ τὴν κατὰ χριστιανῶν ἐφύβριστον γλῶσσαν κινήσας.

DCLXII. Ποσειδώνιος Ἀπαμεὺς ἐκ Συρίας ἢ Ῥόδιος, φιλόσοφος Στωικός, ὃς ἐπεκλήθη Ἀθλητής. σχολὴν δὲ ἔσχεν ἐν Ῥόδῳ, διάδοχος γεγονὼς καὶ μαθητὴς Παναιτίου. ἦλθε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Μάρκου Μαρκέλλου. ἔγραψε πολλά.

DCLXIII. Ποσειδώνιος Ἀλεξανδρεύς, φιλόσοφος Στωικός, μαθητὴς Ζήνωνος τοῦ Κιτιέως. | ἔγραφεν ἱστορίαν τὴν μετὰ Πολύβιον ἐν βιβλίοις νβ' ἕως τοῦ πολέμου τοῦ Κυρηναϊκοῦ καὶ Πτολεμαίου | [καὶ] μελέτας ῥητορικὰς ⟨καὶ⟩ ὑποθέσεις εἰς Δημοσθένην, ⟨καίπερ⟩ οἶμαι ταῦτα μᾶλλον Ποσειδωνίου τοῦ σοφιστοῦ εἶναι τοῦ Ὀλβιοπολίτου.

DCLXIV. Ποσειδώνιος Ὀλβιοπολίτης σοφιστὴς καὶ ἱστορικός. | περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ' αὐτὸν |, περὶ τῆς Τυρικῆς καλουμένης χώρας, Ἀττικὰς ἱστορίας ἐν βιβλίοις δ', Λιβυκὰ ἐν βιβλίοις ια' καὶ ἄλλα τινά.

DCLXV. Ποσ⟨ε⟩ίδιππος Κασανδρεύς, υἱὸς Κυνίσκου, κωμικός, τρίτῳ ἔτει μετὰ τὸ τελευτῆσαι τὸν Μένανδρον διδάξας. ἔστι δὲ τὰ δράματα αὐτοῦ ἕως τῶν λ'.

DCLXVI. Ποτάμων Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς πρὸ Αὐγούστου καὶ κατ' αὐτόν. εἰς τὴν Πλάτωνος πολιτείαν ὑπόμνημα.

DCLXVII. Ποτάμων Μιτυληναῖος, υἱὸς Λεσβώνακτος, ῥήτωρ, ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. [καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπανιόντος ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι 'Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσει, σκεψάσθω εἴ μοι δυνήσεται πολεμεῖν']. ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὥρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, περὶ τελείου ῥήτορος.

DCLVIII. Πρατίνας Πυρρωνίδου ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας. ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ ἐπὶ τῆς ο' ὀλυμπιάδος καὶ πρῶτος ἔγραψε σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν, καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις. καὶ δράματα μὲν ἐπεδείξατο ν', ὧν σατυρικὰ λβ', ἐνίκησε δὲ ἅπαξ.

DCLXIX. Πρίσκος Πανίτης σοφιστής, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντιακὴν καὶ τὰ κατ' Ἀττίλαν ἐν βιβλίοις η', μελέτας τε ῥητορικὰς καὶ ἐπιστολάς.

DCLXX. Προαιρέσιος Παγκρατίου Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ [μικρὸν] πρὸ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων, καὶ τιμῶν ἔτυχε τῶν μεγίστων παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίνου. μελέτας ῥητορικάς. **οὗτος ἤκμασεν ἐπὶ Ἰουλιανοῦ, σύγχρονος Λιβανίῳ τῷ σοφιστῇ, καὶ ὅπως λυποίη τοῦτον ὁ Ἰουλιανός, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζε.**

DCLXXI. *Πρόδικος* Κεῖος ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής, σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ἐν Ἀθήναις κώνειον πιὼν ἀπέθανεν ὡς διαφθείρων τοὺς νέους. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῆς, προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

DCLXXII. *Πρόκλος* Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωικός. ἔγραψεν ὑπόμνημα τῶν Διογένους σοφισμάτων καὶ πρὸς Ἐπίκουρον.

DCLXXIII. *Πρόκλος* δεύτερος Μαλλώτης, φιλόσοφος καὶ αὐτὸς Στωικός.

DCLXXIV. *Πρόκλος* ὁ Προκλήιος χρηματίσας, Θεμισίωνος, Λαοδικείας τῆς Συρίας ἱεροφάντης. ἔγραψε θεολογίαν, εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον, εἰς τὰ χρυσᾶ ἔπη, εἰς τὴν Νικομάχου εἰσαγωγὴν τὴν ἀριθμητικὴν καὶ ἄλλα τινὰ γεωμετρικά.

DCLXXV. *Πρόκλος* ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου. καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς, καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης. ἔγραψε πάνυ πολλά, φιλόσοφά τε καὶ γραμματικά, ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον, ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, περὶ χρηστομαθείας βιβλία γ', περὶ ἀγωγῆς β', εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν Ὀρφέως θεολογίαν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια βιβλία ι', περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, ἐπιχειρήματα κατὰ χριστιανῶν ιη'. οὗτός ἐστι Πρόκλος ὁ δεύτερος μετὰ Πορφύριον κατὰ χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· πρὸς ὃν ἔγραψεν Ἰωάννης ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιη' ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον.

ἔγραψε Πρόκλος μητρῳακὴν βίβλον, ἣν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ τὴν θεὸν ἐξέφηνεν ἅπασαν, ὥστε μηκέτι θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.

DCLXXVI. *Προκόπιος* Ἰλλούστριος, Καισαρεὺς ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής. γέγονεν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ βασιλέως, ὑπογραφεὺς χρηματίσας Βελισαρίου καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις τὰς ὑπ' αὐτοῦ συγγραφείσας. ἔγραψεν ἱστορίαν Ῥωμαϊκήν, ἤγουν τοὺς πολέμους Βελισαρίου πατρικίου, τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. ἔγραψε ⟨δὲ⟩ καὶ ἕτερον βιβλίον, τὰ καλούμενα Ἀνέκδοτα τῶν αὐτῶν πράξεων, ὡς εἶναι ἀμφότερα βιβλία θ'.

ὅτι τὸ βιβλίον Προκοπίου τὸ καλούμενον Ἀνέκδοτα ψόγους καὶ κωμῳδίαν Ἰουστινιανοῦ βασιλέως περιέχει καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας, ἀλλὰ μὴν καὶ αὐτοῦ Βελισαρίου καὶ τῆς γαμετῆς αὐτοῦ.

DCLXXVII. *Πρωταγόρας* Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος ἢ καὶ Μαιανδρίου· τινὲς δὲ αὐτὸν καὶ Τήιον ἔγραψαν. οὗτος πρότερον ἦν φορτοβαστάκτης, ἐντυχὼν δὲ Δημοκρίτῳ ἠράσθη λόγων, καὶ φιλοσοφήσας ἐπὶ ῥητορείαν ἐτράπη. καὶ ἐπεκλήθη πρῶτος οὗτος σοφιστής. πρῶτος δὲ οὗτος τοὺς ἐριστικοὺς λόγους εὗρε καὶ ἀγῶνα λόγων ἐποιήσατο καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ρ'· διὸ καὶ ἐπεκλήθη Λόγος ἔμμισθος. διδάσκαλος δὲ γέγονε καὶ τοῦ ῥήτορος Ἰσοκράτους. [διεῖλέ τε πάντα λόγον πρῶτος οὗτος εἰς δ', εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν· μετὰ δὲ τοῦτον ἕτεροι εἰς ζ' διεῖλον ταῦτα, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, εἰσαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ δ' εἶναί φησιν ἰδέας λόγων, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.] τοῦ δὲ Πρωταγόρου τὰ βιβλία ὑπὸ Ἀθηναίων ἐκαύθη, διότι λόγον ποτὲ εἶπεν οὕτως ἀρξάμενος 'περὶ θεῶν οὐκ ἔχω εἰδέναι, οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσί'. καὶ πρεσβύτερός ἐστι Πλάτωνος τοῦ φιλοσόφου. διδάσκαλος δὲ Προδίκου τοῦ Κείου καὶ ἄλλων πολλῶν.

DCLXXVIII. *Πρωτογένης* ζωγράφος, Ξάνθιος ἐκ Λυκίας, ὁ κατὰ τὴν γραφικὴν διαβόητος ἐπιστήμην, ὁ τὸ ἐν Ῥόδῳ Διονύσιον ἱστορήσας, τὸ ξένον καὶ θαυμαστὸν ἔργον, ὃ καὶ Δη-

μήτριος ὁ Πολιορκητὴς μεγάλως ἐθαύμασεν, ὅτε τὴν Ῥόδον ἐπολιόρκησεν ὅλοις ἐν δυσὶν ἔτεσι, χιλίας ναῦς ἐπαγόμενος καὶ στρατὸν ὁπλίτην μυριάδας ὑπὲρ τὰς ε' καὶ πεντακισχιλίους. περὶ γραφικῆς καὶ σχημάτων βιβλία β'.

DCLXXIX. *Πτολεμαῖος* Κυθήριος ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης. ἐν τούτῳ δέ φησιν, ὅτι βοτάνη ἐστὶ θαυμαστήν τινα δύναμιν ἔχουσα.

DCLXXX. *Πτολεμαῖος* ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε μηχανικὰ βιβλία γ', περὶ φάσεων καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν βιβλία β', ἅπλωσιν ἐπιφανείας σφαίρας, κανόνα πρόχειρον, τὸν μέγαν ἀστρονόμον ἤτοι σύνταξιν καὶ ἄλλα.

DCLXXXI. *Πτολεμαῖος* Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκαλεῖτο Πινδαρίων, υἱὸς δὲ ἦν Ὀρυάνδου, μαθητὴς Ἀριστάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων βιβλία γ', περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος, πρὸς Νεοθαλίδην περὶ λέξεως, περὶ τοῦ παρ' Ὁμήρῳ Οὔτιδος, περὶ Ἀστεροπαίου τοῦ παρ' Ὁμήρῳ μνημονευομένου καὶ ἕτερα.

DCLXXXII. *Πτολεμαῖος* γραμματικός, ὁ Ἐπιθέτης κληθείς, διότι εἵπετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ, ὁ δὲ Ἀγαθοκλέους, ὁ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου. ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν, ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

DCLXXXIII. *Πτολεμαῖος* ὁ Ἀριστονίκου τοῦ γραμματικοῦ πατήρ, καὶ αὐτὸς γραμματικός· ἄμφω δὲ ἐπεδείκνυντο ἐν Ῥώμῃ. τὰ ὁμοίως εἰρημένα τοῖς τραγικοῖς, εἰς Ὅμηρον βιβλία ν', τὰ παρὰ τῷ ποιητῇ ξένως ἱστορημένα, τὰ περὶ Μουσῶν καὶ Νηρηίδων.

DCLXXXIV. *Πτολεμαῖος* Ἀλεξανδρεὺς γραμματικός, ὁ τοῦ Ἡφαιστίωνος, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. περὶ παραδόξου ἱστορίας, Σφίγγα (δρᾶμα δέ ἐστιν ἱστορικόν), Ἀνθόμηρον (ἔστι δὲ ποίησις ῥαψῳδιῶν κδ') καὶ ἄλλα τινά.

DCLXXXV. *Πτολεμαῖος* ὁ Ἀσκαλωνίτης, γραμματικός, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε προσῳδίαν Ὁμηρικήν, περὶ

ἑλληνισμοῦ ἤτοι ὀρθοεπείας βιβλία ιε', περὶ μέτρων, περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως, περὶ διαφορᾶς λέξεων καὶ ἕτερα γραμματικά.

DCLXXXVI. *Πυθαγόρας* Σάμιος, φύσει δὲ Τυρρηνός, Μνησάρχου υἱὸς δακτυλιογλύφου. νέος δὲ ὢν σὺν τῷ πατρὶ ἐκ Τυρρηνίας ᾤκησεν εἰς Σάμον. οὗτος ἤκουσε πρῶτον Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ, εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, ὃς ἦν ἀπόγονος Κρεωφύλου, εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρητος τοῦ μάγου. παιδευθεὶς δὲ καὶ παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις ἦλθεν εἰς Σάμον, καὶ εὑρὼν αὐτὴν τυραννουμένην ὑπὸ Πολυκράτους ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας καὶ σχολὴν συστησάμενος πλεῖον ἢ ἑξακοσίους ἔσχε γνωρίμους. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ δύο, πρεσβύτερος μὲν Εὔνομος, μέσος δὲ Τυρρηνός. δοῦλος δὲ ἦν αὐτῷ Ζάμολξις, ᾧ Γέται ὡς Κρόνῳ θύουσι. γαμετὴν δ' ἐποιήσατο Θεανὼ τὴν Βροντίνου τοῦ Κροτωνιάτου θυγατέρα, ἐξ ἧς καὶ παῖδες αὐτῷ ἐγένοντο δύο, Τηλαύγης καὶ Δάμων, ἢ ὥς τινες Μνήσαρχος, κατὰ δέ τινας καὶ θυγάτηρ Μυῖα ὄνομα, κατὰ δὲ ἄλλους καὶ Ἀριγνώτη. συνέγραφε δὲ ὁ Πυθαγόρας μόνα τρία βιβλία· παιδευτικόν, πολιτικόν, τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου καὶ φυγόντος εἰς Θήβας καὶ καθηγησαμένου Ἐπαμεινώνδα. τινὲς δὲ ἀνατιθέασιν αὐτῷ καὶ τὰ χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας ἐμψύχων ἀπέχεσθαι τροφῆς παρέδωκε καὶ κυάμων.

ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον. συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ, τούτου ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνου ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα, καὶ πρός τινι χωρίῳ γενόμενος πλήρει κυάμων, ἵνα διήρχετο, αὐτόθι ἔστη, εἰπὼν ἁλῶναι μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. οὕτω δὲ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς μ'.

DCLXXXVII. *Πυθέας* Ἀθηναῖος ῥήτωρ, υἱὸς δὲ ἦν μυλωθροῦ καὶ θρασὺς σφόδρα, φυγών τε Ἀθήνηθεν ἐκ τοῦ δεσμωτηρίου διὰ ὄφλημα εἰς Μακεδονίαν ἦλθεν, εἶτα ἐπανῆκε

πάλιν. ἔγραψε λόγους δημηγορικοὺς καὶ δικανικοὺς καὶ ἄλλα τινά. ἀλλ' οὐκ ἐνεκρίθη μετὰ τῶν λοιπῶν ῥητόρων ὡς θρασὺς καὶ διεσπασμένος.

DCLXXXVIII. Πύρρων Πλειστάρχου Ἠλεῖος φιλόσοφος, ὃς ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος κατὰ τὴν ρια' ὀλυμπιάδα καὶ ἐπέκεινα, καὶ πρότερον μὲν ἦν ζωγράφος, ὕστερον δὲ ὥρμησεν ἐπὶ φιλοσοφίαν καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀναξάρχου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου, οὗ διδάσκαλος ἦν Δημόκριτος ὁ Ἀβδηρίτης. ἐδόξασε δὲ μηδὲν φύσει αἰσχρὸν ἢ καλόν, ἀλλ' ἔθει καὶ νόμῳ.

DCLXXXIX. Πύρρων Φλιάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλοσόφου.

DCXC. Πωλίων ὁ Ἀσίνιος χρηματίσας, Τραλλιανὸς σοφιστὴς καὶ φιλόσοφος, | σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου | καὶ διαδεξάμενος τὴν σχολὴν Τιμαγένους. ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος, || ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου ||, ἐπιτομὴν τῶν Διοφάνους γεωργικῶν ἐν βιβλίοις β', πρὸς Ἀριστοτέλην περὶ ζῴων βιβλία ι', | περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήιος |.

DCXCI. Πωλίων Ἀλεξανδρεὺς ὁ Οὐαλέριος χρηματίσας, φιλόσοφος γεγονὼς ἐπὶ Ἀδριανοῦ, οὗ παῖς Διόδωρος φιλόσοφος ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι' ῥήτορσιν. ἔγραψε συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον καὶ ἄλλα τινὰ φιλόσοφα.

DCXCII. Πωλίων ἢ Πολ⟨λ⟩ίων γραμματικός. περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.

DCXCIII. Πῶλος Ἀκραγαντῖνος ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου. ἔγραψε γενεαλογίαν τῶν ἐπὶ Ἴλιον στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων καὶ πῶς ἕκαστος ἀπήλλαξε (τινὲς δὲ αὐτὸ Δαμάστου ἐπιγράφουσι), νεῶν κατάλογον, περὶ λέξεως.

DCXCIV. Ῥηγῖνος γραμματικός. ἔγραψε τὸν λεγόμενον Πολυμνήμονα.

DCXCV. Ῥιανὸς ὁ καὶ Κρής, ὢν Βηναῖος (Βήνη δὲ πόλις Κρήτης)· τινὲς δὲ Κεραΐτην, ἄλλοι δὲ Ἰθώμης τῆς Μεσσήνης αὐτὸν ἱστόρησαν. οὗτος δὲ ἦν τῆς παλαίστρας πρότερον φύλαξ καὶ δοῦλος, ὕστερον δὲ παιδευθεὶς ἐγένετο γραμματικός, σύγχρονος Ἐρατοσθένους. ἔγραψεν . . . ἐμμέτρως ποιήματα, Ἡρακλειάδα ἐν βιβλίοις δ'.

DCXCVI. Ῥίνθων Ταραντῖνος κωμικός, ἀρχηγὸς τῆς καλουμένης ἱλαροτραγῳδίας, ὅ ἐστι φλυακογραφία. υἱὸς δὲ ἦν κεραμέως καὶ γέγονεν ἐπὶ τοῦ πρώτου Πτολεμαίου. δράματα δὲ αὐτοῦ κωμικὰ τραγικὰ λη'.

DCXCVII. Ῥοῦφος Ἐφέσιος ἰατρός, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα, ἐξ ὧν καὶ ταῦτα· περὶ διαίτης ε', περὶ διαίτης πλεόντων α', περὶ τραυματικῶν φαρμάκων α', περὶ τραυματισμοῦ ἄρθρων α', περὶ σύκων α', περὶ τῆς ἀρχαίας ἰατρικῆς βιβλίον α', περὶ γάλακτος βιβλίον α', περὶ οἴνου βιβλίον α', περὶ μέλιτος.

DCXCVIII. Σαβῖνος σοφιστής, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν εἰσαγωγὴν καὶ ὑποθέσεις μελετητικῆς ὕλης [εἰς] βιβλία δ', εἰς Θουκυδίδην καὶ Ἀκουσίλαον καὶ ἄλλους ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά.

DCXCIX. Σαγχωνιάθων Τύριος φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωικά. περὶ τῆς Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη, πάτρια Τυρίων τῇ Φοινίκων διαλέκτῳ, Αἰγυπτιακὴν θεολογίαν καὶ ἄλλα τινά.

DCC. Σαγχωνιάθης Σιδώνιος σοφός, τοῖς χρόνοις κατὰ Σεμίραμιν. ἔγραψε τῇ Φοινίκων διαλέκτῳ φυσιολογίαν καὶ ἄλλα τινά.

DCCI. Σαλούστιος σοφιστής. ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα καὶ ἄλλα.

DCCII. Σαλούστιος Μοψεάτης ἰατρός, ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψεν ἰατρικά.

DCCIII. Σάνδων Ἑλλανίκου φιλόσοφος. ἔγραψεν ὑποθέσεις εἰς Ὀρφέα, βιβλίον α'.

DCCIV. Σαννυρίων Ἀθηναῖος κωμικός. δράματα αὐτοῦ

ἐστι ταῦτα· Γέλως, Δανάη, Ἰώ, Ψυχασταί, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCV. Σαπφὼ Σίμωνος (οἱ δὲ Εὐνομίνου, οἱ δὲ Ἠριγύου, οἱ δὲ Ἐκρύτου, οἱ δὲ Σήμου, οἱ δὲ Κάμωνος, οἱ δὲ Ἐτάρχου, οἱ δὲ Σκαμανδρωνύμου), μητρὸς δὲ Κλειδός, Λεσβία ἐξ Ἐρεσσοῦ, λυρική, γεγονυῖα κατὰ τὴν μβ' ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἦσαν δὲ αὐτῇ καὶ ἀδελφοὶ γ', Λάριχος, Χάραξος, Εὐρύγιος. ἐγαμήθη δὲ ἀνδρὶ Κερκύλᾳ πλουσιωτάτῳ, ὡρμημένῳ ἀπὸ Ἄνδρου, καὶ θυγατέρα ἐποιήσατο ἐξ αὐτοῦ, ἡ Κλεὶς ὠνομάσθη. ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι γ', Ἀτθίς, Τελεσίππα, Μεγάρα, πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς Ἀναγόρα Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ', καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα καὶ ἰάμβους καὶ μονῳδίας.

DCCVI. Σαπφὼ Λεσβία ἐκ Μιτυλήνης, ψάλτρια. αὕτη δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου ἐκ τοῦ Λευκάτου κατεπόντωσεν ἑαυτήν. τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.

DCCVII. Σαραπίων ὁ Αἴλιος χρηματίσας, ῥήτωρ Ἀλεξανδρεύς. ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις ἁμαρτανομένων, ἀκροάσεων βιβλία ζ', πανηγυρικὸν ἐπὶ Ἀδριανῷ τῷ βασιλεῖ, βουλευτικὸν Ἀλεξανδρεῦσιν, εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας καὶ ἄλλα συχνά καὶ τέχνην ῥητορικήν.

DCCVIII. Σεβῆρος σοφιστὴς Ῥωμαῖος . . . . ὁ Σεβῆρος οὗτος ἐπὶ Ἀνθεμίου βασιλέως ἦν, ἐν Ἀλεξανδρείᾳ δὲ ἀφικόμενος τὸν ἀπράγμονα βίον ἔζη, φιλοσοφῶν ἐν βιβλίοις ἀφθόνοις οὖσιν αὐτῷ καὶ παντοδαποῖς. εἴπερ δέ τις ἕτερος, ἱκανὸς ἦν ἐπαγαγέσθαι τοὺς ἐπὶ παιδείᾳ διενεγκόντας ὡς αὐτὸν ἰέναι πολλάκις· ἐπιεικὴς τε . . .

DCCIX. Σεκοῦνδος Ἀθηναῖος σοφιστής, ὃς ἐχρημάτισε Πλήνιος, ἐπωνομάζετο δὲ καὶ Ἐπίουρος ὡς υἱὸς τέκτονος. καθηγητὴς δὲ γέγονε καὶ Ἡρώδου τοῦ σοφιστοῦ. ἔγραψε μελέτας ῥητορικάς.

DCCX. Σέλευκος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐπεκλήθη Ὁμηρικός, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραφεν ἐξηγητικὰ εἰς πάντα ὡς εἰπεῖν ποιητήν, περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς, περὶ τῶν ψευδῶς πεπιστευμένων, περὶ τῶν παρ'

Ἀλεξανδρεῦσι παροιμιῶν, περὶ θεῶν βιβλία ρ' καὶ ἄλλα σύμμικτα.

DCCXI. Σέλευκος Ἐμισηνὸς | γραμματικός |. Ἀσπαλιευτικὰ δι' ἐπῶν βιβλία δ', | εἰς τοὺς λυρικοὺς ὑπόμνημα |, Παρθικὰ δύο. καὶ ἄλλον δέ τινα Σέλευκον εὗρον ἐν παραθήκῃ, βιβλία δὲ οὐκ εἶχε.

DCXII. Σέλλιος ἢ Σίλλιος, ὁ καὶ Ὅμηρος, γραμματικός. περιοχὰς Μενάνδρου.

DCCXIII. Σέξτος Χαιρωνεύς, ἀδελφιδοῦς Πλουτάρχου, γεγονὼς κατὰ Μάρκον Ἀντωνῖνον τὸν Καίσαρα, φιλόσοφος, μαθητὴς Ἡροδότου τοῦ Φιλαδελφηνοῦ. ἦν δὲ τῆς Πυρρωνείου ἀγωγῆς, καὶ τοσοῦτον πρὸς τιμῆς τῷ βασιλεῖ ἦν, ὥστε καὶ συνδικάζειν αὐτῷ. ἔγραψεν ἠθικά, | ἐπισκεπτικά, βιβλία ι' |.

DCCXIV. Σέξτος Λίβυς φιλόσοφος. σκεπτικὰ ἐν βιβλίοις ι', Πυρρώνεια.

DCCXV. Σέργιος Ζευγματεύς, Ἀφθονίου υἱός, ἀπὸ δικηγόρων τῶν ὑπάρχων, καὶ αὐτὸς ὕπαρχος πραιτωρίων γεγονὼς καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος. ἐπιτάφιον εἰς τὸν σοφιστὴν καὶ ἀδελφὸν αὐτοῦ Σαβῖνον. ἔγραψε καὶ ἑτέραν βίβλον ὑπὲρ τῶν δικολόγων πρὸς Ἀριστείδην.

DCCXVI. Σερῆνος ὁ καὶ Αἴλιος χρηματίσας, Ἀθηναῖος γραμματικός. ἐπιτομὴν τῆς Φίλωνος πραγματείας περὶ πόλεων καὶ τίνες ἐφ' ἑκάστης ἔνδοξοι, βιβλία γ', ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον α'.

DCCXVII. Σῆμος Δήλιος γραμματικός. ἔγραψε Δηλιακῶν βιβλία η', περιόδους β', περὶ Πάρου α', περὶ Περγάμου α', περὶ παιάνων. ἐν τούτῳ δὲ μνημονεύει μουσικῶν τινων ἰδεῶν τούτων, αὐτοκαβδάλων, ἰθυφάλλων, φαλλοφόρων. καὶ οἱ μέν, φησί, κιττοῦ στέφανον ἐφόρουν, ὠνομάσθησαν δὲ ὕστερον ἴαμβοι· οἱ δὲ ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον καὶ χειρῖδας ἀνθινὰς καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. οἱ δὲ φαλλοφόροι οὐ χωρὶς ἐξ ἑρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι.

DCCXVIII. Σίβυλλα Δελφίς, ἣν καὶ Ἄρτεμιν προσηγόρευσαν. γέγονε δὲ αὕτη πρὸ τῶν Τρωικῶν, καὶ ἔγραψε χρησμοὺς δι' ἐπῶν.

DCCXIX. Σίβυλλα Ἀπόλλωνος καὶ Λαμίας, κατὰ δέ τινας Ἀριστοκράτους καὶ Ὑδάλης, ὡς δὲ ἄλλοι Κριναγόρου, ὡς δὲ Ἕρμιππος, Θεοδώρου, Ἐρυθραία παρὰ τὸ τεχθῆναι ἐν χωρίῳ τῶν Ἐρυθρῶν, ὃ προσηγορεύετο Βάττοι, νῦν δὲ αὐτὸ τὸ χωρίον πολισθὲν προσαγορεύονται Ἐρυθραί. τινὲς δὲ αὐτὴν Σικελήν, ἄλλοι Σαρδιανήν, ἄλλοι Γεργιθίαν, ἄλλοι δὲ Ῥοδίαν, ἄλλοι δὲ Λίβυσσαν, ἄλλοι Λευκανήν, ἄλλοι Σαμίαν ἐδόξασαν. γέγονε δὲ τοῖς χρόνοις τῆς Τρωικῆς ἁλώσεως μετὰ ἔτη υπγ´ καὶ συνετάξατο βιβλία ταῦτα· περὶ παλμῶν, μέλη, χρησμούς. λέγεται δὲ καὶ τρίγωνον εἶδος λύρας αὐτὴν πρώτην εὑρεῖν.

DCCXX. Σίβυλλα Ἔλισσα. ἔγραψε μαντείας καὶ χρησμοὺς δι' ἐπῶν.

DCCXXI. Σίβυλλα Κολοφωνία, ἥτις ἐκλήθη καὶ Λάμπουσα, ἀπόγονος Κάλχαντος. καὶ αὐτὴ μαντείας καὶ χρησμοὺς δι' ἐπῶν καὶ ἄλλα.

DCCXXII. Σίβυλλα Θετταλὴ ἡ κληθεῖσα καὶ Μαντώ, ἀπόγονος Τειρεσίου.

DCCXXIII. Σίβυλλα Φρυγία ἡ κληθεῖσα ὑπό τινων Σάρυσις, ὑπὸ δέ τινων Κασάνδρα, ἄλλων δὲ Ταραξάνδρα. καὶ αὐτὴ χρησμούς.

DCCXXIV. Σίβυλλα Κυμαία καὶ Σίβυλλα Θεσπρωτίς. ὁμοίως χρησμούς.

DCCXXV. Σίβυλλα Χαλδαία ἡ καὶ πρός τινων Ἑβραία ὀνομαζομένη, ἡ καὶ Περσίς, ἡ κυρίῳ ὀνόματι καλουμένη Σαμβήθη ἐκ τοῦ γένους τοῦ μακαριωτάτου Νῶε, ἡ τὰ κατ' Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένη προειρηκέναι, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλεξάνδρου βίον ἱστορήσας, ἡ περὶ τοῦ δεσπότου Χριστοῦ μυρία προθεσπίσασα καὶ τῆς αὐτοῦ παρουσίας. ἀλλὰ καὶ αἱ λοιπαὶ συνᾴδουσιν αὐτῇ, πλὴν ὅτι ταύτης εἰσὶ βιβλία κδ´ περὶ παντὸς ἔθνους καὶ χώρας περιέχοντα. ὅτι δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐ τῆς προφήτιδός ἐστιν ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων οὐ συμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου, ἢ καὶ ἀπαιδεύτων γενομένων καὶ ἀπείρων γραμματικῆς. ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεχθέντων μνήμη καὶ διὰ τοῦτο εὑρίσκονται καὶ οἱ στίχοι ἀτελεῖς καὶ διάνοια σκάζουσα. εἴτε καὶ κατ' οἰκονομίαν Θεοῦ τοῦτο γέγονεν, ὡς μὴ γινώσκοιντο ὑπὸ τῶν πολλῶν καὶ ἀναξίων οἱ χρησμοὶ αὐτῆς.

DCCXXVI. Σιβύρτιος Θεοδέκτου τοῦ Φασηλίτου ἀναγνώστης καὶ οἰκέτης, ὃς ἐρρητόρευσεν οἰκετῶν πρῶτος. ἔγραψε τέχνας ῥητορικάς.

DCCXXVII. Σιλβανὸς . . . φιλόσοφος, ὃς ἐπιεικὴς μὲν ἦν τὰ ἄλλα καὶ ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος.

DCCXXVIII. Σιμμίας Θηβαῖος φιλόσοφος, μαθητὴς Σωκράτους. ἔγραψε περὶ σοφίας, περὶ φιλίας, περὶ ἀληθείας, περὶ μουσικῆς, περὶ αἱρετοῦ καὶ φευκτοῦ, περὶ ἐπιμελείας, ⟨περὶ⟩ ψυχῆς καὶ ἄλλα φιλόσοφα.

DCCXXIX. Σιμμίας Ῥόδιος γραμματικός. ἔγραψε γλώσσας βιβλία γ', ποιήματα διάφορα βιβλία δ'.

DCCXXX. Σιμοκάττης ἐπώνυμον Θεοφυλάκτου τοῦ σοφιστοῦ.

DCCXXXI. Σιμπλίκιος . . . [ὄνομα κύριον]. [ὁ] ⟨φιλόσοφος⟩ . . .

DCCXXXII. Σιμωνίδης Λεωπρεποῦς, Ἰουλιήτης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως, λυρικός, μετὰ Στησίχορον τοῖς χρόνοις, ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ. καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος. προσεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ, καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον. γέγονε δ' ἐπὶ τῆς νς' ὀλυμπιάδος (οἱ δὲ ἐπὶ τῆς ξβ' γεγράφασι), καὶ παρέτεινε μέχρι τῆς οη', βιοὺς ἔτη πθ'. καὶ γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Δαρείου βασιλεία, καὶ Ξέρξου ναυμαχία καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία μελικῶς, ἡ δ' ἐν Σαλαμῖνι δι' ἐλεγείας, θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες [καὶ τραγῳδίαι] καὶ ἄλλα.

DCCXXXIII. Σιμωνίδης Κεῖος, θυγατριδοῦς κατά τινας τοῦ προτέρου, ὃς ἐπεκλήθη Μελικέρτης. γέγονε δὲ πρὸ τῶν Πελοποννησιακῶν καὶ γέγραφε γενεαλογίαν ἐν βιβλίοις γ', εὑρήματα ἐν βιβλίοις γ'.

DCCXXXIV. Σιμωνίδης Μάγνης ἀπὸ Σιπύλου, ἐποποιός, γέγονεν ἐπὶ Ἀντιόχου τοῦ μεγάλου κληθέντος καὶ γέγραφε τὰς Ἀντιόχου [τοῦ μεγάλου] πράξεις καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρεν.

DCCXXXV. *Σιμωνίδης* Καρύστιος ἢ Ἐρετριεύς, ἐποποιός. τὴν εἰς Αὐλίδα σύνοδον τῶν Ἀχαιῶν, τριμέτρων βιβλία β', περὶ Ἰφιγενείας ἕν.

DCCXXXVI. *Σιμωνίδης* Κρίνεω Ἀμοργῖνος, ἰαμβογράφος. ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β', ἰάμβους. ἦν δὲ τὸ ἐξ ἀρχῆς Σάμιος, ἐν δὲ τῷ ἀποικισμῷ τῆς Ἀμοργοῦ ἐστάλη καὶ αὐτὸς ἡγεμὼν ὑπὸ Σαμίων. ἔκτισε δὲ εἰς Ἀμοργὸν γ' πόλεις, Μίνωαν, Αἰγιάλην, Ἀρχεσίνην. γέγονε δὲ μετὰ υϛ' ἔτη τῶν Τρωικῶν καὶ ἔγραψε κατά τινας πρῶτος ἰάμβους καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων.

DCCXXXVII. *Σιρίκιος* Νεαπολίτης ἐκ Παλαιστίνης, σοφιστής, μαθητὴς Ἀνδρομάχου, σοφιστεύσας χρόνον τινὰ κατὰ τὰς Ἀθήνας. προγυμνάσματα καὶ μελέτας.

DCCXXXVIII. *Σκάμων* ὄνομα κύριον . . .

DCCXXXIX. *Σκοπελιανὸς* Κλαζομένιος σοφιστής, γεγονὼς ἐπὶ Νέρβα, σοφιστεύσας ἐν Σμύρνῃ, ἀκροατὴς δὲ ἐγένετο Νικήτου, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ. πρὸς ὃν καὶ ἐπιστολὰς ἔγραψεν Ἀπολλώνιος.

DCCXL *Σκύλαξ* Καρυανδεὺς (πόλις δέ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα), | μαθηματικὸς καὶ μουσικός |. || περίπλουν τῶν ἐντὸς τῶν Ἡρακλέους στηλῶν ||, τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλάσσων βασιλέα, γῆς περίοδον, | ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν |.

DCCXLI. *Σόλων* Ἐξηκεστίδου, Ἀθηναῖος φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. γέγονε δὲ ἐπὶ τῆς μζ' ὀλυμπιάδος, οἱ δὲ νϛ'. ἐπιβουλευθεὶς δὲ ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείων καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ζ' ὀνομαζομένων σοφῶν καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε, 'μηδὲν ἄγαν', ἢ τὸ 'γνῶθι σαυτόν.'

DCCXLII. Σοφοκλῆς Σοφίλλου, Κολωνῆθεν Ἀθηναῖος, τραγικός, τεχθεὶς κατὰ τὴν ογ' ὀλυμπιάδα, ὡς πρεσβύτερος εἶναι Σωκράτους ἔτη ιζ'. οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ καὶ πρῶτος τὸν χορὸν ἐκ ιε' εἰσήγαγε νέων, πρότερον ιβ' εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ. καὶ αὐτὸς ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ τετραλογίαν. καὶ ἔγραψεν ἐλεγείαν τε καὶ παιᾶνας καὶ λόγον [καταλογάδην] περὶ τοῦ χοροῦ, πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. παῖδας δὲ οὓς ἔσχεν, οὗτοι· Ἰοφῶν, Λεωσθένης, Ἀρίστων, Στέφανος, Μενεκλείδης. τελευτᾷ δὲ μετὰ Εὐριπίδην ἐτῶν ς. ἐδίδαξε δὲ δράματα ρκγ', ὡς δέ τινες, καὶ πολλῷ πλείω, νίκας δὲ ἔλαβε κδ'.

DCCXLIII. Σοφοκλῆς Ἀρίστωνος, υἱωνὸς δὲ τοῦ προτέρου Σοφοκλέους [πρεσβυτέρου], Ἀθηναῖος τραγικός. ἐδίδαξε δὲ δράματα μ', οἱ δέ φασιν ια', νίκας δὲ εἷλεν ζ'. ἔγραψε καὶ ἐλεγείας.

DCCXLIV. Σοφοκλῆς Ἀθηναῖος τραγικὸς καὶ λυρικός, ἀπόγονος τοῦ παλαιοῦ. γέγονε δὲ μετὰ τὴν Πλειάδα ἤτοι μετὰ τοὺς ἑπτὰ τραγικούς, οἵτινες ὠνομάσθησαν καὶ Πλειάς. δράματα αὐτοῦ ιε'.

DCCXLV. Σπεύσιππος Εὐρυμέδοντος, ἀδελφιδοῦς Πλάτωνος τοῦ φιλοσόφου ἀπὸ Ποτώνης τῆς αὐτοῦ ἀδελφῆς, ἀκουστὴς αὐτοῦ Πλάτωνος καὶ διάδοχος γενόμενος τῆς Ἀκαδημίας ἐπὶ τῆς ρη' ὀλυμπιάδος. συνέγραψε πλεῖστα καὶ μάλιστα φιλόσοφα. αὐστηρὸς τὴν γνώμην καὶ εἰς ἄκρον ὀξύθυμος.

DCCXLVI. Σπίνθαρος Ἡρακλεώτης. ἦν δὲ τραγῳδίας ποιητής. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Περικαιόμενος Ἡρακλῆς, Σεμέλη κεραυνουμένη.

DCCXLVII. Στησίχορος Εὐφόρβου ἢ Εὐφήμου, ὡς δὲ ἄλλοι, Εὐκλείδου ἢ Ὑέτους ἢ Ἡσιόδου, ⟨ἐκ⟩ πόλεως Ἱμέρας τῆς Σικελίας (καλεῖται γοῦν Ἱμεραῖος), οἱ δὲ ἀπὸ Ματαυρίας τῆς ἐν Ἰταλίᾳ, οἱ δὲ ἀπὸ Παλαντίου τῆς Ἀρκαδίας φυγόντα αὐτὸν ἐλθεῖν φασιν εἰς Κατάνην, κἀκεῖ τελευτῆσαι καὶ ταφῆναι πρὸ τῆς πύλης, ἥτις ἐξ αὐτοῦ Στησιχόρειος προσηγόρευται.

τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ, ἐπὶ τῆς λζʹ ὀλυμπιάδος γεγονώς. ἐτελεύτησε δὲ ἐπὶ τῆς νςʹ. εἶχε δὲ ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον καὶ ἕτερον Ἡλιάνακτα νομοθέτην. γέγονε δὲ λυρικός. καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ ἐν βιβλίοις κςʹ· φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης τυφλωθῆναι, πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον ἐξ ὀνείρου, τὴν παλινῳδίαν, ἀναβλέψαι. ἐκλήθη δὲ Στησίχορος, ὅτι πρῶτος κιθαρῳδίᾳ χορὸν ἔστησεν, ἐπεὶ τὸ πρότερον Τισίας ἐκαλεῖτο.

DCCXLVIII. Στίλπων Μεγαρεὺς φιλόσοφος, γεγονὼς παρὰ τῷ πρώτῳ Πτολεμαίῳ, μαθητὴς Πασικλέους τοῦ Θηβαίου, ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ καὶ Εὐκλείδου τοῦ Μεγαρέως, οἱ δὲ Εὐκλείδου τοῦ Πλάτωνος γνωρίμου. προέστη δὲ καὶ τῆς Μεγαρικῆς σχολῆς καὶ ἔγραφε διαλόγους οὐκ ἐλάττους τῶν κʹ.

DCCXLIX. Στράβων Ἀμασεὺς φιλόσοφος, γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν βιβλίοις ιζʹ.

DCCL. Στράττις Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἀνθρωπορραίστης, Ἀταλάντη, Ἀγαθοὶ ἤτοι Ἀργυρίου ἀφανισμός, Ἰφιγέρων, Καλλιππίδης, Κινησίας, Λιμνομέδων, Μακεδόνες, Μήδεια, Τρωίλος, Φοίνισσαι, Φιλοκτήτης, Χρύσιππος, Παυσανίας, Ψυχασταί, ὥς φησιν Ἀθήναιος ἐν τῷ βʹ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

DCCLI. Στράττις Ὀλύνθιος ἱστορικός. περὶ τῶν Ἀλεξάνδρου ἐφημερίδων καὶ τῆς Ἀλεξάνδρου τελευτῆς βιβλία πέντε, | ἔγραψε περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν |.

DCCLII. Στράτων κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἦν Φοῖνιξ.

DCCLIII. Στράτων Λαμψακηνὸς φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου ἢ Ἀρκεσίου, ὃς ἐπεκλήθη φυσικὸς διὰ τὸ παρ' ὁντιναοῦν ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. [καθηγήσατο δὲ καὶ Πτολεμαίου τοῦ ἐπικληθέντος Φιλαδέλφου] καὶ ἔγραψε βιβλία πολλά.

DCCLIV. Συνέσιος Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος, ἐπίσκοπος Πτολεμαΐδος, ἱερατικῶν γενόμενος.

ἔγραψε βιβλία διάφορα γραμματικά τε καὶ φιλόσοφα, καὶ λόγους βασιλικούς, πανηγυρικοὺς ἢ ἐπιδεικτικούς, ἐγκώμιόν τε φαλάκρας καὶ περὶ προνοίας λόγον θαυμάσιον Ἑλληνικῷ χαρακτῆρι· καὶ τὰς θαυμαζομένας ἐπιστολάς. καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξε.

DCCLV. Συριανὸς Ἀλεξανδρεὺς φιλόσοφος, ἡγησάμενος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διατριβῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς καὶ διάδοχος αὐτοῦ ἐγένετο. ἔγραψεν | εἰς Ὅμηρον ὅλον ὑπόμνημα ἐν βιβλίοις ζ', εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', εἰς τὴν Ὀρφέως θεολογίαν βιβλία β', [εἰς τὰ Πρόκλου] περὶ τῶν παρ' Ὁμήρῳ θεῶν, συμφωνίαν Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια, βιβλία ι' | καὶ ἄλλα τινὰ ἐξηγητικά.

DCCLVI. Σωκράτης Σωφρονίσκου λιθοξόου καὶ μητρὸς Φαιναρέτης μαίας, πρότερον γενόμενος λιθοξόος, ὥστε καί φασιν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδεδυμένας Χάριτας, εἶτα φιλοσοφήσας διὰ τὸ ἀκοῦσαι Ἀναξαγόρου τοῦ Κλαζομενίου, εἶτα Δάμωνος, εἶτα Ἀρχελάου. Ἀριστόξενος δὲ Ἀρχελάου πρῶτον αὐτὸν διακοῦσαι λέγει, γεγονέναι δὲ αὐτοῦ καὶ παιδικά, σφοδρότατόν τε περὶ τὰ ἀφροδίσια, ἀλλ' ἀδικήματος χωρίς, ὡς Πορφύριος ἐν τῇ φιλοσόφῳ ἱστορίᾳ φησίν. ἐς δὲ ἄνδρας ἐλθὼν ἐστρατεύσατο εἴς τε Ἀμφίπολιν καὶ Ποτίδαιαν καὶ ἐπὶ Δηλίῳ. καὶ γαμεταῖς δὲ συνῴκησε δύο, Ξανθίππῃ, ἀφ' ἧς ἔσχεν υἱὸν Λαμπροκλέα, καὶ δευτέρᾳ Μυρτοῖ τῇ Ἀριστείδου τοῦ δικαίου θυγατρί, ἐξ ἧς ἐγένετο Σωφρονίσκος καὶ Μενέδημος, ἢ Μενέξενος, ὥς τισι δοκεῖ. καὶ ἐπὶ μὲν τῶν Πελοποννησιακῶν γέγονεν, ὡς τύπῳ εἰπεῖν, ὀλυμπιάδι πζ', ἐβίω δὲ ἔτη ο'· εἶτα ἀλογίᾳ, μᾶλλον δὲ ἀπονοίᾳ τῶν Ἀθηναίων βιασθεὶς πιεῖν κώνειον ἀπέθανεν, ἔγγραφον οὐδὲν καταλιπών, ἢ ὥς τινες βούλονται, ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν. φιλοσόφους δὲ εἰργάσατο Πλάτωνα, ὃς καταλιπὼν τὸ Λύκειον (τόπος δὲ οὗτος Ἀθηνῶν) μετήγαγε τὴν σχολὴν ἐν προαστείῳ, τῇ Ἀκαδημείᾳ προσαγορευομένῃ, (καὶ οἱ ἀπ' αὐτοῦ Ἀκαδημαϊκοὶ [φιλόσοφοι] προσηγορεύθησαν μέχρι Ἀριστοτέλους· αὐτὸς γὰρ ἀκροατὴς τοῦ Πλάτωνος γενόμενος,

εἰς κῆπόν τινα πρὸ τῆς πόλεως τὰς διατριβὰς ποιησάμενος ἐκ τοῦ κατ' αὐτὸν περιπάτου Περιπατητικοὺς ὠνόμασε τοὺς ἀπ' αὐτοῦ)· [καὶ] Ἀρίστιππον Κυρηναῖον, ὃς ἰδίαν αἵρεσιν εἰσήγαγε καὶ σχολὴν συνεστήσατο τὴν Κυρηναϊκὴν κληθεῖσαν· Φαίδωνά [τε] Ἠλεῖον καὶ αὐτὸν ἰδίαν συστήσαντα σχολήν, τὴν Ἠλειακὴν ἀπ' αὐτοῦ κληθεῖσαν (ὕστερον δὲ αὕτη Ἐρετριακὴ ἐκλήθη, Μενεδήμου εἰς Ἐρέτριαν διδάξαντος· ἐκ τούτου δὲ τοῦ διδασκάλου καὶ ὁ Πύρρων γέγονεν)· Ἀντισθένην, ὃς τὴν κυνικὴν εἰσήγαγεν αἵρεσιν· Εὐκλείδην Μεγαρέα καὶ αὐτὸν ἰδίαν συστησάμενον σχολήν, ἥτις ἀπ' αὐτοῦ ἐκλήθη Μεγαρική, ἀπὸ δὲ Κλειτομάχου τοῦ μαθητοῦ Εὐκλείδου ἐκλήθη διαλεκτική· Ξενοφῶντα Γρύλλου, Αἰσχίνην Λυσανίου Σφήττιον, Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην, ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδου (ηὔξησε δὲ Κλεινόμαχος, καὶ πολλῶν δι' αὐτῆς ἐλθόντων ἔληξεν εἰς Ζήνωνα τὸν Κιτιέα· οὗτος γὰρ ἀπ' αὐτοῦ Στωικὴν ἐκ τοῦ τόπου τὴν σχολὴν ὠνόμασε, γεγονὼς ἐπὶ τῆς ρκε' ὀλυμπιάδος· τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι· τούτου δὲ καὶ Πύρρων ἠκροάσατο, ἀφ' οὗπερ οἱ Πυρρώνειοι προσαγορευόμενοι)· Ἀλκιβιάδην, Κριτόβουλον, Ξενομήδην, Ἀπολλόδωρον Ἀθηναίους, ἔτι δὲ Κρίτωνα καὶ Σίμωνα, Εὐμάρη Φλιάσιον, Σιμμίαν Θηβαῖον, Τερψίωνα Μεγαρικόν, [Εὔηνον], Χαιρεφῶντα. καὶ Θεόδωρος δὲ ὁ ἐπικληθεὶς ἄθεος αὐτοῦ διήκουσεν, ἀδιαφορίαν δὲ δοξάζων καὶ παραδιδοὺς αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. ταῦτα περὶ Σωκράτους.

DCCLVII. Σώπατρος Ἀπαμεὺς σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἰαμβλίχου, ὃν ὁ Καῖσαρ Κωνσταντῖνος ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι τὰ κατὰ θρησκείαν· ἦν γὰρ αὐτῷ συνήθης πρότερον. ἔγραψε περὶ προνοίας καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων.

DCCLVIII. Σώπατρος Ἀπαμεὺς σοφιστής, ἢ μᾶλλον Ἀλεξανδρεύς. ἐπιτομὰς πλείστων. τινὲς δὲ καὶ τὴν ἐκλογὴν τῶν ἱστοριῶν τούτου εἶναί φασι.

DCCLIX. Σώπατρος κωμικός. τῶν δραμάτων αὐτοῦ

ἐστιν Ἱππόλυτος, Φυσιολόγος, Σίλφαι, [ἢ] Κνιδία, Νέκυια, Πύλαι, Ὀρέστης, Φακῇ, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCLX. Σώπατρος παρῳδός. τούτου ἐστὶ δρᾶμα Βαχχίς, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCLXI. Σωρανὸς Μενάνδρου καὶ Φοίβης, Ἐφέσιος ἰατρός, διατρίψας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν τῇ Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν βασιλέων, βιβλία τε συντάξας πλεῖστα καὶ κάλλιστα.

DCCLXII. Σωρανὸς Ἐφέσιος, ἰατρὸς νεώτερος. γυναικεῖα βιβλία δ', βίους ἰατρῶν καὶ αἱρέσεις καὶ συντάγματα βιβλία ι' καὶ ἄλλα διάφορα.

DCCLXIII. Σωσίβιος Λάκων γραμματικός, τῶν ἐπιλυτικῶν καλουμένων, [ἐν τούτοις δὲ ἱστορεῖ καὶ τοῦτο, ὅτι εἶδός τι κωμῳδίας ἐστὶ καλούμενον Δικηλιστῶν καὶ Μιμηλῶν], περὶ τῶν Μιμηλῶν ἐν Λακωνικῇ ἱστορουμένων παιδιῶν καὶ ἄλλα.

DCCLXIV. Σωσίθεος Συρακούσιος ἢ Ἀθηναῖος, μᾶλλον δὲ Ἀλεξανδρεὺς τῆς Τρωικῆς Ἀλεξανδρείας, τῶν τῆς Πλειάδος εἷς, ἀνταγωνιστὴς Ὁμήρου τοῦ τραγικοῦ τοῦ υἱοῦ Μυροῦς τῆς Βυζαντίας, ἀκμάσας κατὰ τὴν ρκδ' ὀλυμπιάδα, γράψας δὲ καὶ ποιήματα καὶ καταλογάδην.

DCCLXV. Σωσιφάνης Σωσικλέους Συρακούσιος, τραγικός. ἐδίδαξε δράματα ογ', ἐνίκησε δὲ ζ'. ἔστι δὲ καὶ αὐτὸς ἐκ τῶν ζ' τραγικῶν, οἵτινες ὠνομάσθησαν Πλειάς. ἐγένετο δὲ ἐπὶ τῶν τελευταίων χρόνων Φιλίππου, οἱ δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος. [τελευτᾷ δὲ ρια' ὀλυμπιάδι, οἱ δὲ ριδ'.] οἱ δὲ ἀκμάσαι αὐτὸν γράφουσι.

DCCLXVI. Σωτάδας Βυζάντιος φιλόσοφος, . . . ὡς ἐν τῷ ς' περὶ φιλοσοφίας Ἀριστοκλῆς.

DCCLXVII. Σωτάδης Ἀθηναῖος κωμικὸς τῆς μέσης κωμῳδίας.

DCCLXVIII. Σωτάδης Ἀθηναῖος φιλόσοφος ὁ γράψας περὶ μυστηρίων βιβλίον α'.

DCCLXIX. *Σωτάδης* Κρὴς ⟨ἢ⟩ Μαρωνείτης, δαιμονισθείς, ἰαμβογράφος. ἔγραψε φλύακας, ἤτοι κιναίδους διαλέκτῳ Ἰωνικῇ· καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τούτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Πύρης ὁ Μιλήσιος καὶ Θεοδωρίδας καὶ Τιμοχαρίδας καὶ Ξέναρχος. εἰσὶ δὲ αὐτοῦ εἴδη πλεῖστα, οἷον εἰς Ἅιδου κατάβασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζών, καὶ ἕτερα. | καὶ Ἐγκλειόμεναι καὶ Παραλυτρούμενος, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς |.

DCCLXX. *Σωτηρίδας* γραμματικός, ἀνὴρ Παμφίλης, ἣ καὶ τὰς ἱστορίας περιῆψεν. ἔγραφεν ὀρθογραφίαν, ζητήσεις Ὁμηρικάς, ὑπόμνημα εἰς Μένανδρον, περὶ μέτρων, περὶ κωμῳδίας, εἰς Εὐριπίδην.

DCCLXXI. *Σωτηρίδας* Ἐπιδαύριος, πατὴρ Παμφίλης, ᾗ τὰ ὑπομνήματα ἐπέγραψεν, (ὡς ὁ Διονύσιος ἐν λ′ τῆς μουσικῆς ἱστορίας), βιβλία γ′.

DCCLXXII. *Σωτήριχος* Ὀασίτης ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. ἐγκώμιον εἰς Διοκλητιανόν, Βυσσαρικὰ ἤτοι Διονυσιακὰ βιβλία δ′, τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν, τὰ κατὰ Ἀριάδνην, βίον Ἀπολλωνίου τοῦ Τυανέως, Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε) καὶ ἄλλα.

DCCLXXIII. *Σώφιλος* [ὄνομα κύριον] Σικυώνιος ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. δράματα αὐτοῦ Κιθαρῳδός, Φύλαρχος, Τυνδάρεως ἢ Λήδα καὶ Δηλία, ὡς ⟨δέ⟩ φησιν Ἀθήναιος, καὶ Ἐγχειρίδιον καὶ Παρακαταθήκη.

DCCLXXIV. *Σώφρων* Συρακούσιος, Ἀγαθοκλέους καὶ Δαμνασυλλίδος. τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην, καὶ ἔγραψε μίμους ἀνδρείους καὶ μίμους γυναικείους. εἰσὶ δὲ καταλογάδην, διαλέκτῳ Δωρίδι. καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ αὐτοῖς ἐντυγχάνειν, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἔσθ' ὅτε.

DCCLXXV. *Σώφρων* κωμικός. τούτου ἐστὶ δράματα καὶ κωμῳδία Πενθερά, ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς.

DCCLXXVI. *Ταῦρος* Βηρύτιος, φιλόσοφος Πλατωνικός, γεγονὼς ἐπὶ Ἀντωνίνου τοῦ Εὐσεβοῦς. ἔγραψε περὶ τῆς τῶν δογμάτων διαφορᾶς Πλάτωνος καὶ Ἀριστοτέλους, περὶ σωμάτων καὶ ἀσωμάτων καὶ ἄλλα πλεῖστα.

DCCLXXVII. *Τελέσιλλα* . . . ποιήτρια . . . ἐπὶ στήλης τὰ μὲν βιβλία ἀπέρριπται, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε. καὶ γὰρ ὅτε Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργου καταφυγόντας διέφθειρον καὶ πρὸς τὴν πόλιν ᾔεσαν ὡς αἱρήσοντες, τότε Τελέσιλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα ὑπήντησεν οἷ προσῄεσαν. ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι εἰς τοὐπίσω ὑπέστρεψαν, αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ὡς καὶ τὸ νικᾶν ἄδοξον καὶ ἡττᾶσθαι μέγα ὄνειδος. ἐς τοῦτο καὶ ὁ χρησμὸς πεπλήρωτο Ἀργείοις λέγων 'ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται, πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει'.

DCCLXXVIII. *Τελέστης* κωμικός. τούτου δράματά ἐστιν Ἀργὼ καὶ Ἀσκληπιός, ὥς φησιν Ἀθήναιος ἐν τῷ ιδ' τῶν Δειπνοσοφιστῶν.

DCCLXXIX. *Τέρπανδρος* Ἀρναῖος, ἢ Λέσβιος ἀπὸ Ἀντίσσης, ἢ Κυμαῖος (οἱ δὲ καὶ ἀπόγονον Ἡσιόδου ἀνέγραψαν, ἄλλοι δὲ Ὁμήρου, Βοίου λέγοντες αὐτὸν τοῦ Φωκέως τοῦ Εὐρυφῶντος τοῦ Ὁμήρου), λυρικός, ὃς πρῶτος ἑπτὰ χορδῶν ἐποίησε τὴν λύραν, καὶ νόμους λυρικοὺς πρῶτος ἔγραψεν, εἰ καί τινες Φιλάμμωνα θέλουσι γεγραφέναι.

DCCLXXX. *Τεῦκρος* ὁ Κυζικηνὸς | ὁ γράψας περὶ χρυσοφόρου γῆς |, περὶ τοῦ Βυζαντίου, Μιθριδατικῶν πράξεων βιβλία ε', περὶ Τύρου ε', Ἀραβικῶν ε', Ἰουδαϊκὴν ἱστορίαν ἐν βιβλίοις ϛ', ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν γ', καὶ ⟨τὰ⟩ λοιπά.

DCCLXXXI. *Τηλαύγης* Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς καὶ μαθητής, φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους. ἔγραψε περὶ τῆς τετρακτύος βιβλία δ'.

DCCLXXXII. *Τηλεκλείδης* Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἀμφικτύονες καὶ Πρυτάνεις καὶ Στερροί, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

DCCLXXXIII. *Τήλεφος* Περγαμηνὸς γραμματικός.

ἔγραψε καὶ αὐτός, ἐν οἷς παρατίθεται πόσα χρὴ εἰδέναι τὸν γραμματικόν. περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων ῥητορικῶν βιβλία β', περὶ συντάξεως λόγου Ἀττικοῦ βιβλία ε', περὶ τῆς καθ' Ὅμηρον ῥητορικῆς, περὶ τῆς Ὁμήρου καὶ Πλάτωνος συμφωνίας, ποικίλης φιλομαθείας βιβλία β', βίους τραγικῶν καὶ κωμικῶν, βιβλιακῆς ἐμπειρίας βιβλία γ', ἐν οἷς διδάσκει τὰ κτήσεως ἄξια βιβλία (ὅτι μόνος Ὅμηρος τῶν ἀρχαίων ἑλληνίζει), περιήγησιν Περγάμου, περὶ τοῦ ἐν Περγάμῳ Σεβαστίου βιβλία β', περὶ τῶν Ἀθήνησι δικαστηρίων, περὶ τῶν Ἀθήνησι νόμων καὶ ἐθῶν, περὶ τῶν Περγάμου βασιλέων βιβλία ε', περὶ χρήσεως ἤτοι ὀνομάτων ἐσθῆτος καὶ τῶν ἄλλων οἷς χρώμεθα (ἔστι δὲ κατὰ στοιχεῖον), περὶ τῆς Ὀδυσσέως πλάνης, ὠκυτόκιον (ἔστι δὲ συναγωγὴ ἐπιθέτων εἰς τὸ αὐτὸ πρᾶγμα ἁρμοζόντων, πρὸς ἕτοιμον εὐπορίαν φράσεως) βιβλία ι'.

DCCLXXXIV. *Τιβέριος* φιλόσοφος καὶ σοφιστής. περὶ ἰδεῶν λόγου βιβλία γ', περὶ παρασκευῆς, περὶ μεταποιήσεως, περὶ ἱστορίας, περὶ λόγου τάξεως καὶ συνθέσεως, περὶ διαιρέσεως λόγου, περὶ μεταβολῆς λόγου πολιτικοῦ, περὶ λόγων ἐπιδεικτικῶν, περὶ προλαλιῶν καὶ προοιμίων, περὶ ἐπιχειρημάτων, περὶ Δημοσθένους καὶ Ξενοφῶντος, περὶ Ἡροδότου καὶ Θουκυδίδου.

DCCLXXXV. *Τιμαγένης* βασιλικοῦ ἀργυραμοιβοῦ υἱός, Ἀλεξανδρεύς, ὡς δέ τινες, Αἰγύπτιος, ῥήτωρ, ὃς ἐπὶ Πομπηίου τοῦ μεγάλου αἰχμάλωτος ἀχθεὶς ἐν Ῥώμῃ ὑπὸ τοῦ Γαβινίου ἐξωνήθη ὑπὸ Φαύστου τοῦ υἱοῦ Σύλλου καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπί τε αὐτοῦ Πομπηίου καὶ μετ' αὐτόν, ἐπί τε Καίσαρος τοῦ Αὐγούστου καὶ μετέπειτα ἅμα Καικιλίῳ. ἐκπεσὼν δὲ τῆς σχολῆς διὰ τὸ παρρησιαστὴς εἶναι ἐν ἀγρῷ διῆγε, Τουσκλάνῳ λεγομένῳ. ἐτελεύτησε δὲ ἐν Ἀλβάνῳ, ἐμέσαι βουληθεὶς καὶ σφηνωθείς. βιβλία δὲ ἔγραψε πολλά.

DCCLXXXVI. *Τιμαγένης* ἱστορικός. περίπλουν πάσης θαλάσσης ἐν βιβλίοις ε'.

DCCLXXXVII. *Τιμαγένης* ἢ Τιμογένης Μιλήσιος ἱστορικὸς | καὶ ῥήτωρ |· περὶ Ἡρακλείας τῆς ἐν τῷ Πόντῳ καὶ τῶν ἐξ αὐτῆς λογίων ἀνδρῶν βιβλία γ' | καὶ ἐπιστολάς. |

DCCLXXXVIII. ⟨*Τιμοχάρης*⟩ . . . ἔγραψε περὶ Συρίας καὶ τῶν ἐν αὐτῇ πόλεων καὶ βασιλέων βιβλία γ´.

DCCLXXXIX. *Τίμαιος* Ἀνδρομάχου Ταυρομενείτης, Φιλίσκου μαθητὴς τοῦ Μιλησίου, ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν (παρωνόμαστο δὲ τοῦτο διὰ τὸ πολλὰ ἐπιτιμᾶν, καὶ Γραοσυλλέκτρια δὲ διὰ τὸ τὰ τυχόντα ἀναγράφειν). ἔγραψεν Ἰταλικὰ καὶ Σικελικὰ ἐν βιβλίοις λη´, [Ἑλληνικὰ καὶ Σικελικά,] | συλλογὴν ῥητορικῶν ἀφορμῶν βιβλία ξη´ |, ὀλυμπιονίκας ἤτοι χρονικὰ πραξίδια.

DCCXC. *Τίμαιος* Λοκρός, φιλόσοφος Πυθαγόρειος. μαθηματικά, περὶ φύσεως, περὶ τοῦ Πυθαγόρου βίου.

DCCXCI. *Τιμησίθεος* τραγικός. δράματα αὐτοῦ Δαναΐδες β´, Ἕκτορος λύτρα, Ἡρακλῆς, Ἰξίων, Καπανεύς, Μέμνων β´, Μνηστῆρες, Ζηνὸς γοναί, Ἑλένης ἀπαίτησις, Ὀρέστης ⟨καὶ⟩ Πυλάδης, Κάστωρ καὶ Πολυδεύκης.

DCCXCII. *Τιμόθεος* Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἦν Πύκτης, Παρακαταθήκη, Μεταβαλλόμενος ἢ Μεταφερόμενος. καὶ Κυνάριον Τιμοθέου δρᾶμα, ὥς φησιν Ἀθήναιος ἐν τοῖς αὐτοῦ.

DCCXCIII. *Τιμόθεος* Θερσάνδρου ἢ Νεομούσου ἢ Φιλοπόλιδος, Μιλήσιος, λυρικός, ὃς τὴν δεκάτην καὶ ἑνδεκάτην χορδὴν προσέθηκε, καὶ τὴν ἀρχαίαν μουσικὴν ἐπὶ τὸ μαλακώτερον μετήγαγεν. ἦν δὲ ἐπὶ τῶν Εὐριπίδου χρόνων τοῦ τραγικοῦ, καθ' οὓς καὶ Φίλιππος ὁ Μακεδὼν ἐβασίλευεν, καὶ ἐτελεύτησεν ἐτῶν ⟨ὢν⟩ ϛζ´, γράψας δι' ἐπῶν νόμους μουσικοὺς ιθ´, προοίμια λϛ´, Ἄρτεμιν, διασκευὰς η´, ἐγκώμια, Πέρσας ἢ Ναύπλιον, Φινείδας, Λαέρτην, διθυράμβους ιη´, ὕμνους κα´ καὶ ἄλλα τινά.

DCCXCIV. *Τιμόθεος* Γαζαῖος γραμματικός, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως, εἰς ὃν καὶ τραγῳδίαν ἐποίησε περὶ τοῦ δημοσίου τοῦ καλουμένου χρυσαργύρου. ἔγραψε δὲ καὶ ἐπικῶς περὶ ζῴων τετραπόδων [θηρίων] τῶν παρ' Ἰνδοῖς καὶ Ἄραψι καὶ Αἰγυπτίοις καὶ ὅσα τρέφει Λιβύη, καὶ περὶ ὀρνέων ξένων τε καὶ ἀλλοκότων καὶ ὄφεων βιβλία δ´.

DCCXCV. Τιμοκλῆς Ἀθηναῖος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Δημοσάτυροι, Κένταυρος, Καύνιοι, Ἐπιστολαί, Ἐπιχαιρέκακος, Φιλοδικαστής, Πύκτης, ὥς φησιν Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

DCCXCVI. Τιμοκλῆς ἕτερος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Διονυσιάζουσαι, Πολυπράγμων, Ἰκάριοι, Δῆλος, Λήθη, Διόνυσος, Κονίσαλος, Πορφύρα, ἥτις καὶ δοκεῖ Ξενάρχου εἶναι, Ἥρωες, Δρακόντιον, Νέαιρα (ἑταίρας δὲ ὄνομά ἐστιν ἡ Νέαιρα), Ὀρέστης, Μαραθώνιοι καὶ ἄλλα.

DCCXCVII. Τιμοκρέων Ῥόδιος, [κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας]. διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητὴν καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς τινος ποιήματος. ἔγραψε δὲ [κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιστοκλέα καὶ εἰς Σιμωνίδην τὸν μελοποιόν] καὶ ἄλλα.

DCCXCVIII. Τιμόλαος Λαρισαῖος ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής, ὃς καὶ ποιητικῶς ἔχων παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικά. 'μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος, ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης, οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος. πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί'. ἔγραψε καὶ ἄλλα τινά.

DCCXCIX. Τίμων Φλιάσιος, καὶ αὐτὸς φιλόσοφος τῆς Πύρρωνος ἀγωγῆς, ὁ γράψας τοὺς καλουμένους Σίλλους, ἤτοι ψόγους τῶν φιλοσόφων, βιβλία γ'.

DCCC. Τίμων ὁ μισάνθρωπος, καὶ αὐτὸς φιλόσοφος, ἀποστρεφόμενος πᾶσαν αἵρεσιν.

DCCCI. Τουσκιανός . . . ῥήτωρ δεινότατος . . .

DCCCII. Τράγκυλλος ὁ Σουητόνιος χρηματίσας, γραμματικὸς Ῥωμαῖος. ἔγραψε περὶ τῶν παρ' Ἕλλησι παιδιῶν βιβλίον α', περὶ τῶν παρὰ Ῥωμαίοις θεωριῶν καὶ ἀγώνων βιβλία β', περὶ τοῦ κατὰ Ῥωμαίους ἐνιαυτοῦ βιβλίον α', περὶ

τῶν ἐν τοῖς βιβλίοις σημείων α', περὶ τῆς Κικέρωνος πολιτείας α' (ἀντιλέγει δὲ τῷ Διδύμῳ), περὶ ὀνομάτων κυρίων καὶ ἰδέας ἐσθημάτων καὶ ὑποδημάτων καὶ τῶν ἄλλων οἷς τις ἀμφιέννυται, περὶ δυσφήμων λέξεων ἤτοι βλασφημιῶν καὶ πόθεν ἑκάστη, περὶ Ῥώμης καὶ τῶν ἐν αὐτῇ νομίμων καὶ ἠθῶν βιβλία β', συγγενικόν, Καισάρων (περιέχει δὲ βίους κατὰ διαδοχὰς αὐτῶν ἀπὸ Ἰουλίου ἕως Δομετιανοῦ) βιβλία η', στέμμα Ῥωμαίων ἀνδρῶν ἐπισήμων.

DCCCIII. Τριβωνιανὸς Μακεδονιανοῦ. ἀπὸ δικηγόρων τῶν ὑπάρχων. οὗτος ὁ Τριβωνιανὸς Ἕλλην ὑπῆρχε καὶ ἄθεος καὶ ἀλλότριος κατὰ πάντα τῆς τῶν χριστιανῶν πίστεως, κόλαξ δὲ καὶ ἀπατεὼν καὶ πείθων Ἰουστινιανὸν τὸν βασιλέα ὡς ὅτι οὐκ ἀποθανεῖται, ἀλλ' εἰς τοὺς οὐρανοὺς μετὰ σαρκὸς ἀναληφθήσεται. ἦν δὲ κοιαίστωρ Ἰουστινιανοῦ.

DCCCIV. Τριβωνιανὸς Σιδήτης, ἀπὸ δικηγόρων τῶν ὑπάρχων καὶ αὐτός, ἀνὴρ πολυμαθής. ἔγραψεν ἐπικῶς ὑπόμνημα εἰς τὸν Πτολεμαίου κανόνα, συμφωνίαν τοῦ κοσμικοῦ καὶ ἁρμονικοῦ διαθέματος, εἰς τὸν πολεύοντα καὶ διέποντα, εἰς τοὺς τῶν πλανωμένων οἴκους, καὶ διὸ ἑκάστῳ οἶκος ὁ δεῖνα, εἰς τούς κδ' πόδας τοὺς μετρικοὺς καὶ τοὺς κη' τοὺς ῥυθμικούς, μετάφρασιν τοῦ Ὁμηρικοῦ τῶν νεῶν καταλόγου, διάλογον Μακεδόνιον ἢ περὶ εὐδαιμονίας, [καὶ] βίον Θεοδότου φιλοσόφου ἐν βιβλίοις γ', ὑπατικὸν καταλογάδην εἰς Ἰουστινιανὸν αὐτοκράτορα, βασιλικὸν εἰς τὸν αὐτόν, περὶ μηνῶν ἐναλλαγῆς ἐπικῶς.

DCCCV. Τρυφιόδωρος Αἰγύπτιος γραμματικὸς καὶ ποιητὴς ἐπῶν. ἔγραψε Μαραθωνιακά, Ἰλίου ἅλωσιν, τὰ καθ' Ἱπποδάμειαν, Ὀδύσσειαν λειπογράμματον (ἔστι δὲ ποίημα τῶν Ὀδυσσέως καμάτων καὶ ὅσα μυθολογοῦσι περὶ αὐτοῦ) καὶ ἄλλα.

DCCCVI. Τρυφιόδωρος διάφορα ἔγραψε δι' ἐπῶν, παράφρασιν τῶν Ὁμήρου παραβολῶν καὶ ἄλλα πλεῖστα.

DCCCVII. Τρύφων Ἀμμωνίου Ἀλεξανδρεὺς γραμματικὸς | καὶ ποιητής |, γεγονὼς κατὰ τοὺς Αὐγούστου χρόνους καὶ πρότερον. περὶ πλεονασμοῦ τοῦ ἐν τῇ Αἰολίδι διαλέκτῳ βλιβία ζ', περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πιν-

δάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς, περὶ τῆς Ἑλλήνων διαλέκτου καὶ Ἀργείων καὶ Ἱμεραίων καὶ Ῥηγίνων καὶ Δωριέων καὶ Συρακουσίων, περὶ τῆς ἐν κλίσεσιν ἀναλογίας α', περὶ τῆς ἐν εὐθεία ἀναλογίας, περὶ ὀνομάτων συγκριτικῶν α' περὶ τῆς ἐν μονοσυλλάβοις ἀναλογίας, περὶ ὀνομάτων χαρακτήρων α', περὶ ῥημάτων ἀναλογίας βαρυτόνων α', περὶ ῥημάτων ἐγκλιτικῶν καὶ ἀπαρεμφάτων καὶ προστακτικῶν καὶ εὐκτικῶν καὶ ἁπλῶς πάντων, περὶ ὀρθογραφίας καὶ τῶν ἐν αὐτῇ ζητουμένων, περὶ πνευμάτων καὶ τρόπων καὶ ἄλλα.

DCCCVIII. *Τρωΐλος* σοφιστής, παιδεύσας ἐν Κωνσταντίνου πόλει. λόγους πολιτικούς, ἐπιστολῶν βιβλία ζ'.

DCCCIX. *Τυραννίων* Ἐπικρατίδου καὶ Λινδίας Ἀλεξανδρίνης, Ἀμισηνός, ἐχρημάτιζε δὲ Κορύμβου, γεγονὼς ἐπὶ Πομπηίου τοῦ μεγάλου καὶ πρότερον, μαθητὴς ἄλλων τε καὶ Ἑστιαίου τοῦ Ἀμισηνοῦ, ὑφ' οὗ καὶ Τυραννίων ὠνομάσθη ὡς κατατρέχων τῶν ὁμοσχόλων, πρότερον καλούμενος Θεόφραστος. εἶτα διήκουσε καὶ Διονυσίου τοῦ Θρᾳκὸς ἐν Ῥόδῳ. ἀντεσοφίστευσε δὲ Δημητρίῳ, τῷ Ἐρυθραίῳ. ἤχθη δὲ εἰς Ῥώμην ληφθεὶς αἰχμάλωτος ὑπὸ Λουκούλλου, ὅτε κατεπολέμησε Μιθριδάτην τὸν Πόντου βασιλεύσαντα. διαπρεπὴς δὲ γενόμενος ἐν Ῥώμῃ καὶ πλούσιος ἐκτήσατο καὶ βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας. ἐτελεύτησε δὲ γηραιός, ὑπὸ ποδάγρας παραλυθείς, ὀλυμπιάδι ρπη', ἐν τῷ γ' ἔτει τῆς ὀλυμπιάδος.

DCCCX. *Τυραννίων* ὁ νεώτερος, Φοῖνιξ, πατρὸς Ἀρτεμιδώρου, μαθητὴς Τυραννίωνος τοῦ πρεσβυτέρου, διὸ καὶ ὠνομάσθη Τυραννίων, πρότερον καλούμενος Διοκλῆς. αἰχμάλωτος δὲ γενόμενος καὶ αὐτὸς ἐπὶ τοῦ πολέμου Ἀντωνίου καὶ Καίσαρος ὑπό τινος Δύμαντος ὠνήθη, τοῦ Καίσαρος ὄντος ἀπελευθέρου, εἶτα ἐδωρήθη Τερεντίᾳ τῇ τοῦ Κικέρωνος γυναικί. ἐλευθερωθεὶς δὲ ὑπ' αὐτῆς ἐσοφίστευσεν ἐν Ῥώμῃ καὶ ἔγραψε βιβλία πρὸς η' καὶ ξ', ὧν καὶ ταῦτα· περὶ τῆς Ὁμηρικῆς προσῳδίας, περὶ τῶν μερῶν τοῦ λόγου (ἐν ᾧ λέγει ἄτομα μὲν εἶναι τὰ κύρια ὀνόματα, θεματικὰ δὲ τὰ προσηγορικά, ἀθέματα δὲ τὰ μετοχικά), περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου, ὅτι ἐστιν ἐκ τῆς Ἑλληνικῆς κ' οὐκ αὐθιγενής [ἡ Ῥωμαϊκὴ διάλε-

κτος], ὅτι διαφωνοῦσιν οἱ νεώτεροι ποιηταὶ πρὸς Ὅμηρον, ἐξήγησιν τοῦ Τυραννίωνος μερισμοῦ, διόρθωσιν Ὁμηρικήν, ὀρθογραφίαν.

DCCCXI. Τυραννίων Μεσσήνιος φιλόσοφος. οἰωνοσκοπικὰ ἐν βιβλίοις γ'. | καὶ ἄλλα δὲ βιβλία αὐτοῦ φέρεται χρήσιμα |.

DCCCXII. Τύραννος σοφιστής. περὶ στάσεων, διαιρέσεως λόγου βιβλία ι'.

DCCCXIII. Τυρταῖος Ἀρχεμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής, ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι. ἔστι δὲ παλαίτατος, σύγχρονος τοῖς ζ' κληθεῖσι σοφοῖς ἢ καὶ παλαίτερος. ἤκμαζε γοῦν κατὰ τὴν λε' ὀλυμπιάδα. ἔγραψε πολιτείαν Λακεδαιμονίοις καὶ ὑποθήκας δι' ἐλεγείας καὶ μέλη πολεμιστήρια βιβλία ε'.

DCCCXIV. Ὑπατία ἡ Θέωνος τοῦ γεωμέτρου θυγάτηρ, τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος καὶ πολλοῖς γνώριμος, γυνὴ Ἰσιδώρου τοῦ φιλοσόφου, ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἀρκαδίου. ἔγραψεν ὑπόμνημα εἰς Διόφαντον, τὸν ἀστρονομικὸν κανόνα, εἰς τὰ κωνικὰ Ἀπολλωνίου ὑπόμνημα. αὕτη διεσπάσθη παρὰ τῶν Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλην τὴν πόλιν διεσπάρη. τοῦτο δὲ πέπονθε διὰ φθόνον καὶ τὴν ὑπερβάλλουσαν σοφίαν καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίαν, ὡς μέν τινες, ὑπὸ Κυρίλλου, ὡς δέ τινες, διὰ τὸ ἔμφυτον τῶν Ἀλεξανδρέων θράσος καὶ στασιῶδες. πολλοῖς γὰρ καὶ τῶν κατ' αὐτοὺς ἐπισκόπων τοῦτο ἐποίησαν· τὸν Γεώργιον σκόπει καὶ τὸν Προτέριον.

DCCCV. Ὑπερέχιος Ἀλεξανδρεὺς γραμματικός, ἐπὶ τῶν χρόνων Μαρκιανοῦ τοῦ βασιλέως. ἔγραψε τέχνην γραμματικήν, περὶ ὀνομάτων, περὶ ῥήματος καὶ ὀρθογραφίας.

DCCCXVI. Ὑπερίδης υἱὸς Γλαυκίππου τοῦ ῥήτορος (οἱ δὲ Πυθοκλέους), Ἀθηναῖος ῥήτωρ, τῶν πρώτων κεκριμένων δέκα εἷς, μαθητεύσας ἅμα Λυκούργῳ Πλάτωνι τῷ φιλοσόφῳ καὶ Ἰσοκράτει τῷ ῥήτορι. καὶ ἀπέβη μὲν δεξιὸς ῥήτωρ, γυναικῶν δὲ ἡττήθη. ἀνῃρέθη δὲ καὶ αὐτὸς ὑπὸ Ἀντιπάτρου τοῦ βασιλέως, ἐξαγαγόντος αὐτὸν τοῦ ἐν Ἑρμιόνῃ ναοῦ τῆς Δήμη-

τρος δι' Ἀρχίου τοῦ ἐπικληθέντος Φυγαδοθήρα, καὶ ἀποτμηθεὶς τὴν γλῶτταν ἀπέθανεν. ὁ δὲ υἱὸς αὐτοῦ Γλαύκιππος τὰ ὀστᾶ λαβὼν εἰς τὸ πατρῷον ἔθαψε μνῆμα. εἰσὶ δὲ οἱ πάντες λόγοι αὐτοῦ νς'.

DCCCXVII. Φαβωρῖνος Ἀρελάτου τῆς ἐν Γαλλίᾳ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τοῦ σώματος ἕξιν [ἀνδρόγυνος], ὅν φασιν ἑρμαφρόδιτον, φιλοσοφίας μεστός, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμενος, γεγονὼς ἐπὶ Τραϊανοῦ τοῦ Καίσαρος, καὶ παρατείνας μέχρι τῶν Ἀδριανοῦ χρόνων τοῦ βασιλέως. ἀντεφιλοτιμεῖτο γοῦν καὶ ζῆλον εἶχε πρὸς Πλούταρχον τὸν Χαιρωνέα ἐς τὸ τῶν συνταττομένων βιβλίων ἄπειρον. γέγραπται γοῦν αὐτῷ φιλόσοφά τε καὶ ἱστορικά, ὧν πολὺς ἀριθμός. ἔστι δὲ καὶ τῶν βιβλίων αὐτοῦ ταῦτα· περὶ τῆς Ὁμήρου φιλοσοφίας, περὶ Σωκράτους καὶ τῆς κατ' αὐτὸν ἐρωτικῆς τέχνης, περὶ Πλάτωνος, περὶ τῆς διαίτης τῶν φιλοσόφων καὶ ἄλλα. οὗτος ἔγραψε καὶ γνωμολογικά.

DCCCXVIII. Φαίδων Ἠλεῖος φιλόσοφος, Σωκράτους ἀκουστής, ὃς ἦρξε τῆς Ἠλιακῆς ἀπ' αὐτοῦ κληθείσης αἱρέσεως, ἥτις ὕστερον ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη. τοῦτον συνέβη πρῶτον αἰχμάλωτον ὑπὸ Ἰνδῶν ληφθῆναι, εἶτα πραθεὶς πορνοβοσκῷ τινι προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησιν ἐν Ἀθήναις. ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ ἠράσθη τῶν λόγων αὐτοῦ καὶ αἰτεῖ λύσασθαι. ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτὸν, καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. διάλογοι δὲ αὐτοῦ Ζώπυρος, Μήδιος, Σίμων, Ἀντίμαχος ἢ Πρεσβύτης, Νικίας, Σιμμίας, Ἀλκιβιάδης, Κριτόλαος.

DCCCXIX. Φάλαρις Ἀκραγαντῖνος, τυρραννήσας δὲ Σικελίας ὅλης κατὰ τὴν νβ' ὀλυμπιάδα. ἔγραφεν ἐπιστολὰς πάνυ θαυμασίας.

DCCCXX. Φανίας ἢ Φαινίας Ἐρέσιος, φιλόσοφος περιπατητικός, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ρια' ὀλυμπιάδος καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

DCCCXXI. Φερεκράτης Ἀθηναῖος κωμικός, | ὃς Ἀλεξάνδρῳ συνεστράτευσεν |. ἐδίδαξε δράματα ιζ'.

DCCCXXII. *Φερεκύδης* Βάβυος Σύριος (ἔστι δὲ νῆσος μία τῶν Κυκλάδων ἡ Σύρα, πλησίον Δήλου). γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ζʹ σοφοῖς καὶ τετέχθαι περὶ τὴν μεʹ ὀλυμπιάδα. διδαχθῆναι δὲ ὑπ' αὐτοῦ Πυθαγόραν λόγος, αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητήν, ἀλλ' ἑαυτὸν ἀσκῆσαι, κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσιν, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων, καὶ πρῶτον τὸν περὶ τῆς μετεμψυχώσεως λόγον εἰσηγήσασθαι. ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν. καὶ τελευτᾷ ὑπὸ πλήθους φθειρῶν. ἔστι δὲ ἅπαντα ἃ συνέγραψε ταῦτα· ἑπτάμυχος | ἤτοι θεοκρασία ἢ θεογονία. (ἔστι δὲ θεολογία ἐν βιβλίοις ιʹ, ἔχουσα θεῶν γένεσιν καὶ διαδοχάς) |.

DCCCXXIII. *Φερεκύδης* Ἀθηναῖος, | πρεσβύτερος τοῦ Συρίου, ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν |. ἔγραψεν Αὐτόχθονας (ἔστι δὲ περὶ τῆς ἀρχαιολογίας τῆς Ἀττικῆς) ἐν βιβλίοις ιʹ. | παραινέσεις δι' ἐπῶν. Πορφύριος δὲ τοῦ προτέρου οὐδένα πρεσβύτερον δέχεται, ἀλλ' ἐκεῖνον μόνον ἡγεῖται ἀρχηγὸν συγγραφῆς |.

DCCCXXIV. *Φερεκύδης* Λέριος ἱστορικός, γεγονὼς πρὸ ὀλίγου τῆς οεʹ ὀλυμπιάδος. περὶ Λέρου, | περὶ Ἰφιγενείας, περὶ τῶν Διονύσου ἑορτῶν | καὶ ἄλλα.

DCCCXXV. *Φιλάγριος* Λύκιος ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι (ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος ἐσκιρρωμένου ἐπιστολῇ φησιν [ὁ Φιλάγριος], εἴη ἂν μᾶλλον Ἠπειρώτης), ἰατρός, μαθητὴς Ναυμαχίου. τοῖς χρόνοις μετὰ Γαληνόν, ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ, συντάξας βιβλία ἰατρικὰ μονόβιβλα μὲν οʹ, ὑπομνηματικὸν εἰς Ἱπποκράτην, συντάγματα δὲ ἕτερα οὐκ ὀλίγα.

DCCCXXVI. *Φιλέταιρος* [ὄνομα κύριον] Ἀθηναῖος κωμικός, υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ. δράματα δὲ αὐτοῦ καʹ, ὧν ἐστι καὶ ταῦτα· Ἀχιλλεύς, Κορινθιαστής, Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεύς, Οἰνοπίων, Ἄντυλλος (καὶ αὐτὸ Φιλεταίρου, ὡς δέ τινες Νικοστράτου), Ἀταλάντη, Λαμπαδηφόροι.

DCCCXXVII. *Φιλήμων* Συρακούσιος, υἱὸς Δάμωνος, καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας, ἤκμαζεν ἐπὶ τῆς Ἀλεξάνδρου βασιλείας, βραχὺ Μενάνδρου πρότερος. ἔγραφε δὲ κωμῳδίας ⟨ζ'⟩ πρὸς ϛ' καὶ ἐβίωσεν ἔτη ϛθ'· εἰσὶ δὲ οἳ λέγουσιν α' καὶ ρ'. ἐτελεύτησε δὲ ὑπὸ σφοδροῦ γέλωτος.

DCCCXXVIII. *Φιλήμων* ὁ νεώτερος, καὶ αὐτὸς κωμικός, υἱὸς Φιλήμονος τοῦ κωμικοῦ. ἐδίδαξε δὲ δράματα νδ'.

DCCCXXIX. *Φιλητᾶς* Κῷος, υἱὸς Τηλέφου, ὢν ἐπί τε Φιλίππου καὶ Ἀλεξάνδρου, γραμματικὸς κριτικός, ὃς ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον ψευδόμενον λόγον ἀπέθανεν. ἐγένετο δὲ καὶ διδάσκαλος τοῦ δευτέρου Πτολεμαίου. ἔγραψεν ἐπιγράμματα καὶ ἐλεγείας καὶ ἄλλα.

DCCCXXX. *Φιλιππίδης* Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς νέας κωμῳδίας, υἱὸς Φιλοκλέους. ἦν δὲ ἐπὶ τῆς ρια' ὀλυμπιάδος. ἐδίδαξε καὶ αὐτὸς δράματα με'.

DCCCXXXI. *Φίλιππος* Ἀμφιπολίτης ἱστορικός. Ῥοδιακὰ βιβλία ιθ' (ἔστι δὲ τῶν πάνυ αἰσχρῶν), Κῳακὰ βιβλία β', Θασιακὰ βιβλία β' καὶ ἄλλα.

DCCCXXXII. *Φίλιππος* σοφιστὴς ὁ γράψας περὶ πνευμάτων ἐκ τῶν Ἡρωδιανοῦ κατὰ στοιχεῖον καὶ περὶ συναλοιφῆς.

DCCCXXXIII. *Φίλιππος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κωδωνιασταί, [ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς].

DCCCXXXIV. *Φιλίσκος* κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτέμιδος καὶ Ἀπόλλωνος.

DCCCXXXV. *Φιλίσκος* Κερκυραῖος, Φιλώτου υἱός, τραγικὸς καὶ ἱερεὺς τοῦ Διονύσου ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. καὶ ἀπ' αὐτοῦ τὸ Φιλίσκειον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαφιλεύετο. ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵτινές εἰσιν ζ' καὶ ἐκλήθησαν Πλειάς. αἱ δὲ τραγῳδίαι αὐτοῦ εἰσι μβ'.

DCCCXXXVI. *Φιλίσκος* . . . Αἰγινήτης ὁ διδάξας γράμ-

ματα Ἀλέξανδρον τὸν Μακεδόνα. αὐτὸς δὲ ἀκουστὴς ἦν τοῦ κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον Στίλπωνος. ἔγραψε διαλόγους, ὧν ἐστι Κόδρος.

DCCCXXXVII. Φιλίσκος Μιλήσιος ῥήτωρ, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος. ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος, διὸ καὶ Αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακός, Ἀμφικτυονικός, τέχνη ῥητορικὴ ἐν βιβλίοις β', Ἰσοκράτους ἀπόφασις.

DCCCXXXVIII. [Φιλίσκος, ἢ] Φίλιστος, Συρακούσιος ἱστορικός. ἦν δὲ συγγενὴς Διονυσίου τοῦ τυράννου Σικελίας καὶ ἐν τῇ πρὸς Καρχηδονίους ναυμαχίᾳ ἐτελεύτησε. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ἔγραψε Σικελικὰ (ἔστι δὲ τὰ πρὸς Ἕλληνας αὐτοῖς πραχθέντα διαφόρως) καὶ γενεαλογίαν, | περὶ Φοινίκης, | καὶ ἄλλα τινὰ περὶ τῆς νήσου Σικελίας.

DCCCXXXIX. Φιλιστίων | Προυσαεύς, ἢ |, ὡς Φίλων Σαρδιανός, κωμικός. | τελευτᾷ δὲ ὑπὸ Σωκράτους |. ὃς ἔγραψε κωμῳδίας βιολογικάς. || τελευτᾷ δὲ ὑπὸ γέλωτος ἀπείρου ||. δράματα δὲ αὐτοῦ Μιμοψηφισταί. οὗτός ἐστιν ὁ γράψας τὸν Φιλόγελων, ἤγουν τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν Κουρέα. | Νικαεὺς δὲ μᾶλλον παρὰ πᾶσιν ᾄδεται, ὡς μαρτυρεῖ τὸ ἐπίγραμμα 'ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον γέλωτι κεράσας Νικαεὺς Φιλιστίων' |.

DCCCXL. Φίλιστος Ναυκρατίτης | ἢ Σουρακούσιος, Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ. ὃς πρῶτος κατὰ τὴν ῥητορικὴν τέχνην ἱστορίαν ἔγραψε. συνέταξε δὲ τέχνην ῥητορικήν |, Αἰγυπτιακὰ ἐν βιβλίοις ιβ', | Σικελικὰ ἐν βιβλίοις ια' |, πρὸς τὸν Τρικάρανον λόγον περὶ Ναυκράτεως, | περὶ Διονυσίου τοῦ τυράννου βιβλία ς' |, περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γ', | Δημηγορίας καὶ ἄλλα τινά |. περὶ Συρίας καὶ Λιβύης.

DCCCXLI. Φιλοκλῆς Φιλοπείθους Ἀθηναῖος τραγικός, τοῖς χρόνοις κατ' Εὐριπίδην. ἐπεκαλεῖτο δὲ Χολὴ διὰ τὸ πικρόν. ἔγραψε τραγῳδίας ρ', ὧν ἐστι καὶ ταῦτα· Ἠριγόνη,

Ναύπλιος, Οἰδίπους, Οἰνεύς, Πρίαμος, Πηνελόπη, Φιλοκτήτης. Αἰσχύλου δὲ τοῦ τραγικοῦ ἦν ἀδελφιδοῦς καὶ ἔσχεν υἱὸν Μόρσιμον τὸν τραγικόν, οὗ τινος γίνεται Ἀστυδάμας ὁ τραγικός. — τούτου δ' ἕτερος Φιλοκλῆς τραγικός.

DCCCXLII. Φιλόξενος Εὐλυτίδου Κυθήριος, (Καλλίστρατος δὲ Ἡρακλείας αὐτὸν γράφει ⟨τῆς⟩ Ποντικῆς), λυρικός. ἔγραψε διθυράμβους κδ'. τελευτᾷ δὲ ἐν Ἐφέσῳ. οὗτος ἀνδραποδισθέντων τῶν Κυθήρων ὑπὸ Λακεδαιμονίων ἠγοράσθη ὑπὸ Ἀγεσύλου τινὸς καὶ ὑπ' αὐτοῦ ἐτράφη, καὶ Μύρμηξ ἐκαλεῖτο· ἐπαιδεύθη δὲ μετὰ τὸν θάνατον Ἀγεσύλου, Μελανιππίδου πριαμένου αὐτὸν τοῦ λυρικοῦ. ἔγραψε δὲ μελικῶς γενεαλογίαν τῶν Αἰακιδῶν.

DCCCXLIII. Φιλόξενος Ἀλεξανδρεὺς γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ. περὶ μονοσυλλάβων ῥημάτων, περὶ σημείων τῶν ἐν τῇ Ἰλιάδι, περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, περὶ διπλασιασμοῦ, περὶ μέτρων, περὶ τῆς τῶν Συρακουσίων διαλέκτου, περὶ ἑλληνισμοῦ ς', περὶ συζυγιῶν, περὶ γλωσσῶν ε', περὶ τῶν παρ' Ὁμήρῳ γλωσσῶν, περὶ τῆς Λακώνων διαλέκτου, περὶ τῆς Ἰάδος διαλέκτου καὶ τῶν λοιπῶν.

DCCCXLIV. ⟨Φίλιππος Ὀπούντιος⟩, φιλόσοφος, ὃς τοὺς Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβ'· τὸ γὰρ ιγ' αὐτὸς προσθεῖναι λέγεται. καὶ ἦν Σωκράτους καὶ αὐτοῦ Πλάτωνος ἀκουστής, σχολάσας τοῖς μετεώροις. ὧν δὲ κατὰ Φίλιππον τὸν Μακεδόνα συνεγράψατο τάδε· περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, περὶ θεῶν β', περὶ χρόνου α', περὶ μύθων α', περὶ ἐλευθερίας α', περὶ ὀργῆς α', περὶ ἀνταποδόσεως α', περὶ Λοκρῶν τῶν Ὀπουντίων, περὶ ἡδονῆς α', περὶ ἔρωτος α', περὶ φίλων καὶ φιλίας α', περὶ τοῦ γράφειν, περὶ Πλάτωνος, περὶ ἐκλείψεως σελήνης, περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς α', περὶ ἀστραπῶν, περὶ πλανητῶν, ἀριθμητικά, περὶ πολυγόνων ἀριθμῶν, ὀπτικῶν β', ἐνοπτικῶν β', κυκλιακά, μεσότητας καὶ ἄλλα.

DCCCXLV. Φιλόστρατος Φιλοστράτου τοῦ καὶ Βήρου, Λημνίου σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας

ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας, ἐπιστολὰς ἐρωτικάς, εἰκόνας ἤτοι ἐκφράσεις ἐν βιβλίοις δ', διαλέξεις, αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις η', ἀγοράν, ἡρωικόν, βίους σοφιστῶν ἐν βιβλίοις δ', ἐπιγράμματα καὶ ἄλλα τινά. πλὴν πρῶτος ὀφείλει κεῖσθαι.

DCCCXLVI. *Φιλόστρατος* ὁ πρῶτος, Λήμνιος, υἱὸς Βήρου, πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, σοφιστὴς καὶ αὐτός, σοφιστεύσας ἐν Ἀθήναις, γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λόγους πανηγυρικοὺς πλείστους καὶ λόγους Ἐλευσινιακοὺς δ', μελέτας, ζητούμενα παρὰ τοῖς ῥήτορσι, ῥητορικὰς ἀφορμάς, περὶ τοῦ ὀνόματος (ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον), περὶ τραγῳδίας βιβλία γ', | γυμναστικόν (ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων) |, λιθογνωμικόν, Πρωτέα, Κύνα ἢ σοφιστήν, | Νέρωνα |, Θεατήν, τραγῳδίας μγ', κωμῳδίας ιδ' καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια.

DCCCXLVII. *Φιλόστρατος* Νερβιανοῦ, ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστὴς καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ, ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν εἰκόνας, Παναθηναϊκόν, Τρωικόν, παράφρασιν τῆς Ὁμήρου ἀσπίδος, μελέτας ε'. τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ' αὐτὸν ἀναφέρουσιν.

DCCCXLVIII. *Φιλόχορος* Κύκνου Ἀθηναῖος μάντις καὶ ἱεροσκόπος· γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένη. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. ἔγραψεν Ἀτθίδος βιβλία ιζ' (περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος θεοῦ, ἔστι δὲ πρὸς Δήμωνα), περὶ μαντικῆς δ', περὶ θυσιῶν α', περὶ τῆς τετραπόλεως, Σαλαμῖνος κτίσις, ἐπιγράμματα Ἀττικά, περὶ τῶν Ἀθήνησιν ἀγώνων βιβλία ιζ'. περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολ-

λοδώρου, Ὀλυμπιάδας ἐν βιβλίοις β΄, πρὸς τὴν Δήμωνος Ἀτθίδα, ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος, ἐπιτομὴν τῆς Διονυσίου πραγματείας, περὶ ἱερῶν, περὶ τῶν Σοφοκλέους μύθων βιβλία ε΄, περὶ Εὐριπίδου, περὶ Ἀλκμᾶνος, περὶ μυστηρίων τῶν Ἀθήνησι, συναγωγὴν ἡρωίδων ἤτοι Πυθαγορείων γυναικῶν, Δηλιακὰ βιβλία β΄, περὶ εὑρημάτων, περὶ καθαρμῶν, περὶ συμβόλων.

DCCCXLIX. Φιλύλλιος Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἰγεύς, Αὔγη, Ἄντεια (ἑταίρας ὄνομα), Δωδεκάτη, Ἡρακλῆς, Πλύντρια ἢ Ναυσικάα, Πόλ⟨ε⟩ις, Φρεωρύχος, Ἀταλάντη, Ἑλένη.

DCCCL. Φίλων Βύβλιος γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων τῶν ἐγγὺς Νέρωνος καὶ παρέτεινεν εἰς μακρόν· ὕπατον γοῦν Σεβῆρον τὸν Ἐρέννιον χρηματίσαντα αὐτὸς εἶναί φησιν, ὅταν ἦγεν ὄγδοον καὶ ἑβδομηκοστὸν ἔτος, ὀλυμπιάδι δὲ κ΄ καὶ διακοσιοστῇ. γέγραπται δὲ αὐτῷ περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβ΄, περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ΄, περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων, καὶ ἄλλα.

ὅτι ὕπατος γέγονεν ὁ Φίλων Ἐρέννιος χρηματίσας, ὡς αὐτός φησι

DCCCLI. Φίλων Ἰουδαῖος τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους ἱερέων, φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα προύβη παιδείας, ὡς μετελθεῖν πᾶσαν ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων καὶ τὰς λοιπὰς ἐπιστήμας, σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι 'ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει'· τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς Πλάτωνα. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα· περὶ συγχύσεως γλωσσῶν βιβλίον α΄, περὶ φύσεως καὶ εὑρήματος α΄, περὶ ὧν κατὰ νοῦν τις εὔχεται α΄, περὶ παιδεύσεως α΄, περὶ κληρονόμου τῶν θείων πραγμάτων α΄, περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α΄, περὶ τῶν τριῶν δυνάμεων, περὶ ἐναλλαγεισῶν παρά τινων, περὶ συνθηκῶν λόγοι β΄, περὶ βίου φιλοσόφου, περὶ γιγάντων α΄, περὶ ὀνείρων ε΄, περὶ ζητημάτων καὶ ἑρμη-

νευμάτων τῆς ἐξόδου ε', περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δ', περὶ θυσιῶν, περὶ ὑποσχέσεων ἤτοι καταρῶν, περὶ προνοίας, περὶ Ἰουδαίων α', περὶ ἀγωγῆς βίου, περὶ Ἀλεξάνδρου καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχει τὰ ἄλογα, περὶ τοῦ πᾶς ἄφρων δοῦλός ἐστι, περὶ τῆς διαγωγῆς τῶν χριστιανῶν, περὶ βίου θεωρητικοῦ, περὶ ἱκετῶν, περὶ γεωργίας λόγοι β', περὶ μέθης β', περὶ τοῦ Μωυσέως βίου, εἰς τὰ χερουβίμ, τουτέστι τὴν φλογίνην ῥομφαίαν, εἰς τὴν πεντάτευχον Μωυσέως καὶ εἰς αὐτὸν τὸν Μωυσῆν λόγοι ε'.

DCCCLII. *Φίλων Καρπάθιος.* ἔγραφεν ὑπόμνημα εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων.

DCCCLIII. *Φιλωνίδης Ἀθηναῖος*, κωμικὸς ἀρχαῖος, πρότερον δὲ ἦν γναφεύς. τῶν δραμάτων αὐτοῦ ἦν Κόθορνοι, Ἀπήνη, Φιλέταιρος.

DCCCLIV. *Φλέγων Τραλλιανός*, ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δὲ Ἀδριανοῦ φασιν), ἱστορικός. ἔγραφεν Ὀλυμπιάδας ἐν βιβλίοις ις' (ἔστι δὲ μέχρι τῆς σκθ' ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ), τὰ δὲ αὐτὰ ἐν βιβλίοις η', ἔκφρασιν Σικελίας, περὶ μακροβίων καὶ θαυμασίων, περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ', περὶ τῶν ἐν Ῥώμῃ τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων, ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοις β' καὶ ἄλλα.

DCCCLV. *Φοινικίδης κωμικός.* τῶν δραμάτων αὐτοῦ ἐστι Φύλαρχος, Μισουμένη, ὡς Ἀθήναιός φησιν ἐν τῷ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

DCCCLVI. *Φόρμος Συρακούσιος* κωμικός, σύγχρονος Ἐπιχάρμῳ, οἰκεῖος δὲ Γέλωνι τῷ τυράννῳ Σικελίας καὶ τροφεὺς τῶν παίδων αὐτοῦ. ἔγραψε δράματα ζ', ἅ ἐστι ταῦτα· Ἄδμητος, Ἀλκίνους, Ἀλκυόνες, Ἰλίου πόρθησις, Ἵππος, Κηφεὺς ἢ Κεφάλαια, Περσεύς. ἐχρήσατο δὲ πρῶτος ἐνδύματι ποδήρει καὶ σκηνῇ δερμάτων φοινικῶν. μέμνηται δὲ καὶ ἑτέρου δράματος Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς, Ἀταλάντης.

DCCCLVII. *Φρόντων Ἐμισηνὸς* ῥήτωρ, γεγονὼς ἐπὶ

*Σεουήρου τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξ' ἔτη γεγονώς, καὶ τῆς ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν κριτικὸν κατέλιπε κληρονόμον. ἔγραφε δὲ συχνοὺς λόγους.*

DCCCLVIII. *Φρύνιχος Πολυφράδμονος ἢ Μινύρου (οἱ δὲ Χοροκλέους), Ἀθηναῖος τραγικός, μαθητὴς Θέσπιδος τοῦ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ τῆς ξζ' ὀλυμπιάδος. οὗτος δὲ πρῶτος [ὁ Φρύνιχος] γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράδμονα. τραγῳδίαι δὲ αὐτοῦ εἰσιν θ' αὗται· Πλευρωνίαι, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος ἢ Λίβυες, Δίκαιοι ἢ Πέρσαι ἢ Σύνθωκοι, Δαναΐδες.*

DCCCLIX. *Φρύνιχος Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας· ἐδίδαξε γοῦν τὸ πρῶτον ἐπὶ πς' ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοὶ ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι, [Σάτυροι].*

DCCCLX. *Φρύνιχος Βιθυνὸς σοφιστής. Ἀττικιστὴν ἢ περὶ Ἀττικῶν ὀνομάτων βιβλία β', τιθεμένων συναγωγήν, σοφιστικῆς παρασκευῆς βιβλία μζ', οἱ δὲ οδ'.*

DCCCLXI. *Φρύνιχος Μελανθᾶ Ἀθηναῖος τραγικός. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ καὶ τάδε· Ἀνδρομέδα, Ἠριγόνη. | ἐποίησε καὶ πυρρίχας |.*

*ὅτι Φρύνιχον Ἀθηναῖοι χιλίαις ἐζημίωσαν ἅλωσιν Μιλησίων τραγῳδήσαντα.*

DCCCLXII. *Φύλαρχος Ἀθηναῖος ἢ Ναυκρατίτης, οἱ δὲ Σικυώνιον, ἄλλοι δὲ Αἰγύπτιον ἔγραψαν, ἱστορικός. τὴν ἐπὶ Πελοπόννησον Πύρρου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κη' (κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος καὶ τῆς Βερενίκης τελευτῆς, καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου, τὰ κατὰ Ἀντίοχον καὶ τὸν Περγαμηνὸν Εὐμένη), ἐπιτομὴν μυθικήν, περὶ*

τῆς τοῦ Διὸς ἐπιφανείας, περὶ εὑρημάτων, παρεκβάσεων βιβλία θ'.

DCCCLXIII. Φωκυλίδης Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωικῶν, ὀλυμπιάδι γεγονότες νθ'. ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤτοι γνώμας, ἅς τινες κεφάλαια ἐπιγράφουσιν, εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.

DCCCLXIV. Χαιρεφῶν Ἀθηναῖος, τῶν δήμων Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής.

DCCCLXV. Χαιρήμων τραγικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Τραυματίας, ὥς Ἀθήναιός φησιν, καὶ Οἰνεὺς καὶ Ἀλφεσίβοια καὶ Κένταυρος καὶ Διόνυσος καὶ Ὀδυσσεὺς καὶ Θυέστης καὶ Μινύαι.

καὶ ἕτερος Χαιρήμων γράψας Ἱερογλυφικά.

DCCCLXVI. Χάραξ Περγαμηνὸς ἱερεὺς καὶ φιλόσοφος, ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον ʽεἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης, ἔνθα ποτὲ πτολέμιξεν Ἀχιλλῆι πτολιπόρθῳ Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων'. ἔστι δὲ τῶν κατ' Αὔγουστον πολλῷ νεώτερος· μέμνηται γοῦν ἐν τῷ β' τῶν βιβλίων Αὐγούστου ὡς πάλαι γενομένου Καίσαρος, καὶ ἐν τῷ ζ' Νέρωνος καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν τε καὶ 〈Ἰταλικῶν〉 ἱστοριῶν βιβλία μ'.

DCCCLXVII. Χαρίτων Χαρίτωνος ὄνομα κύριον . . .

DCCCLXVIII. Χάρων Λαμψακηνός, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, ξθ' ὀλυμπιάδι (μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οε' ὀλυμπιάδα), ἱστορικός. ἔγραψεν || Αἰθιοπικά ||, Περσικὰ ἐν βιβλίοις β', Ἑλληνικὰ ἐν βιβλίοις δ', περὶ Λαμψάκου β', | Λιβυκά |, ὥρους Λακεδαιμονίων ἐν βιβλίοις δ', πρυτάνεις ἢ ἄρχοντας τοὺς τῶν Λαμψακηνῶν (ἔστι δὲ χρονικά), κτίσεις πόλεων ἐν βιβλίοις β', | Κρητικὰ ἐν βιβλίοις γ' (λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους), περίπλουν τῶν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν |.

DCCCLXIX. Χάρων Καρχηδόνιος ἱστορικός. ἔγραψε

τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', βίους ὁμοίως γυναικῶν ἐν δ'.

DCCCLXX. Χάρων Ναυκρατίτης ἱστορικός. ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα. | βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν ἑκάστῳ ἔθνει |, καὶ περὶ Ναυκράτεως καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου.

DCCCLXXI. Χείρων Κένταυρος, ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν, ὑποθήκας δι' ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα, καὶ ἱππιατρικόν· διὸ καὶ Κένταυρος ὠνομάσθη.

DCCCLXXII. Χίλων [Χίλωνος] Δαμαγήτου Λακεδαιμόνιος, εἷς τῶν ζ' σοφῶν· ὃς ἦν βραχυλόγος. ὅθεν Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ.

DCCCLXXIII. Χιωνίδης Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι τῆς ἀρχαίας κωμῳδίας, διδάσκειν δὲ ἔτεσιν η' πρὸ τῶν Περσικῶν. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· Ἥρωες, Πτωχοί, Πέρσαι ἢ Ἀσσύριοι.

DCCCLXXIV. Χοιρίλος Ἀθηναῖος τραγικός, ξδ' ὀλυμπιάδι καθεὶς εἰς ἀγῶνας [καὶ] ἐδίδαξε μὲν δράματα ξ' καὶ ρ', ἐνίκησε δὲ ιγ'. οὗτος κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε.

DCCCLXXV. Χοιρίλος Σάμιος, | τινὲς δὲ Ἰασέα |, ἄλλοι δὲ Ἁλικαρνασσέα ἱστοροῦσι. γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν ὀλυμπιάδι οε' νεανίσκον ἤδη εἶναι. δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν, φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντο λόγων ἐρασθῆναι, οὗ τινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. ἐπιθέσθαι δὲ ποιητικῇ καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. ἔγραψε δὲ ταῦτα· τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, | ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε | καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη, | Λαμιακά |. καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

DCCCLXXVI. Χριστόδωρος Πανίσκου, ἀπὸ Κοπτοῦ

πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ς´ (ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην), πάτρια Κωνσταντινουπόλεως ἐπικῶς βιβλία ιβ´, πάτρια Θεσσαλονίκης ἐπικῶς βιβλία κε´, πάτρια Νάκλης (ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα), πάτρια Μιλήτου τῆς Ἰωνίας, πάτρια Τράλλεων, πάτρια Ἀφροδισιάδος, ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων καὶ ἄλλα πολλά.

DCCCLXXVII. Χριστόδωρος Θηβαῖος, Ἰλλούστριος. ἔγραψεν Ἰξευτικὰ δι' ἐπῶν καὶ θαύματα τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

DCCCLXXVIII. Χρύσιππος Ἀπολλωνίδου Σολεὺς ἢ Ταρσεύς, φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος τῆς Στωικῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας ο´ καὶ γ´ ἐτῶν ὑπὸ τοῦ πιεῖν ἄκρατον καὶ ἰλιγγιᾶσαι, κατὰ δὲ ἄλλους ὑπὸ γέλωτος ἀπείρου, ἐπὶ ρμγ´ ὀλυμπιάδος. συντέταχε δὲ βιβλία πλείω ἢ ψ´, φιλόσοφά τε καὶ ἱστορικὰ καὶ γραμματικά.

DCCCLXXIX. Ὠλὴν Δυμαῖος ἢ Ὑπερβόρειος ἢ Λύκιος, ἐποποιός, μᾶλλον δὲ Λύκιος ἀπὸ Ξάνθου, ὡς δηλοῖ Καλλίμαχος καὶ ὁ Πολυΐστωρ ἐν τοῖς περὶ Λυκίας.

DCCCLXXX. Ὡραπόλλων Φενεβήθεως, κώμης τοῦ Πανοπολίτου νομοῦ, γραμματικός, διδάξας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Αἰγύπτῳ, εἶτα ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδοσίου. ἔγραψε τεμενικά, ὑπόμνημα Σοφοκλέους, Ἀλκαίου, εἰς Ὅμηρον.

DCCCLXXXI. Ὡρίων Θηβαῖος τῆς Αἰγύπτου. συναγωγὴν γνωμῶν, ἤγουν ἀνθολόγιον πρὸς Εὐδοκίαν τὴν βασιλίδα, γυναῖκα Θεοδοσίου τοῦ μικροῦ, βιβλία γ´.

DCCCLXXXII. Ὡρίων Ἀλεξανδρεὺς γραμματικός. | ἀνθολόγιον |, Ἀττικῶν λέξεων συναγωγήν, περὶ ἐτυμολογίας, ἐγκώμιον Ἀδριανοῦ τοῦ Καίσαρος.

DCCCLXXXIII. Ὧρος Ἀλεξανδρεὺς γραμματικός, παιδεύσας ἐν Κωνσταντίνου πόλει. ἔγραψε περὶ διχρόνων, ὅπως

τὰ ἐθνικὰ λεκτέον, λύσεις προτάσεων τῶν Ἡρωδιανοῦ, πίνακα τῶν ἑαυτοῦ, περὶ ἐγκλιτικῶν μορίων, ὀρθογραφίαν κατὰ στοιχεῖον, περὶ τῆς ει διφθόγγου, ὀρθογραφίαν περὶ τῆς ει διφθόγγου κατὰ Φρυνίχου κατὰ στοιχεῖον, | ἀνθολόγιον περὶ γνωμῶν |.

DCCCLXXXIV. Ὠφελίων κωμικός. μέμνηται αὐτοῦ καὶ Ἀθήναιος ἐν τῷ β' βιβλίῳ τῶν Δειπνοσοφιστῶν, φησὶ δὲ τῶν δραμάτων αὐτοῦ εἶναι ταῦτα· Δευκαλίωνα, Κάλλαισχρον, Κένταυρον, | Σατύρους, Μούσας, Μονότροπον |.

# INDEX VITARUM.

## I. Poetae epici.


Ἄβαρις
Αἰθέριος
Αἰσχρίων
[Αἴσωπος]
Ἀντίμαχος
Ἀπολλώνιος
Ἄρατος
Ἀριστέας
Ἀρκτῖνος
Ἀρριανός
Βαβρίας
Γεώργιος
Δάμασος
Διονύσιος Μιτ.
» Βυζ.
» Κορ.
Ἐπιμενίδης
Εὔμολπος
Εὔοδος
Εὐφορίων
Ἤριννα
Ἡροφίλα
Ἡσίοδος
Θάμυρις
Θεοδόσιος
Θεόδωρος
Ἰδαῖος Ῥόδ.
Καλλίμαχος
Κικίλιος
Κλαυδιανός
Κόλουθος
Κόριννος
Κρεώφυλος
Κῦρος
Λεσχίδης
Μενέλαος
Μουσαῖος
» Ἐφ.
» Θηβ.
Νέστωρ
[Νόννος]
Ὅμηρος
Ὀππιανός
Ὀρφεύς
» alter
» tertius
Ὀρφεύς quartus
» quintus
Παλαίφατος
Παλαμήδης
Παμπρέπιος
Πανόλβιος
Πανύασις
Παρθένιος
Πείσανδρος
» alter
Πέρσης
Πίγρης
Πτολεμαῖος
Σίβυλλαι
Σιμωνίδης
» alter
Σωτήριχος
Τριβωνιανός
Φερεκύδης Ἀθ.
Χοιρίλος (Σαμ. et Ἰασ.)
Χριστόδωρος
» alter
Ὠλήν


## II. Poetae Lyrici.


Ἀλκμάν
[ » alter]
Ἀνακρέων
Ἀρίων
Βακχυλίδης
Δωσιάδης
Θαλήτας
» alter
Θεανώ
Θέογνις
Θεόκριτος
Ἴβυκος
Ἱππῶναξ
Κλεοβουλίνη
Κόριννα
Κόριννα altera
[ » tertia]
Λίνος
» alter
Μαριανός
Μελανιππίδης
» alter
Μελέαγρος
Μεσομήδης
Μίμνερμος
Μυῖα
» altera
Μυρώ
Παρθένιος
Πίνδαρος
Πίνδαρος alter
Σαπφώ
[ » altera]
Σιμωνίδης
» alter
Σιμωνίδης Ἀμ.
Στησίχορος
Σωτάδης
Τελέσιλλα
Τέρπανδρος
Τιμόθεος
Τυρταῖος
Φιλόξενος
Φωκυλίδης

## III. Poetae tragici.

Ἀγάθων
Αἰσχύλος
Ἀλκαῖος
Ἀλκιμένης
Ἀπολλόδωρος
Ἀρίσταρχος
Ἀστυδάμας
» alter
Ἀχαιός
Ἀχαιός alter
Δικαιογένης
Διογένης
Διονυσιάδης
Διονύσιος τυρ.
» » alter
Ἐμπεδοκλῆς
Εὐριπίδης
» alter
» tertius
Εὐφορίων
Θέσπις
Ἰοφῶν
Ἴων
Καρκῖνος
» alter
» tertius
Κλεοφῶν
Λυκόφρων
Νεόφρων
Νικόμαχος
Νικόμαχος alter
Πρατίνας
Σοφοκλῆς
Σοφοκλῆς alter
» tertius
Σπίνθαρος
Σωσίθεος
Σωσιφάνης
Τιμησίθεος
Φιλίσκος
Φιλοκλῆς
Φρύνιχος
» alter
Χαιρήμων
Χοιρίλος

## IV. Poetae comici.

Αἴνικος
Ἄλεξις
Ἀλκαῖος
Ἀλκιμένης
Ἀμειψίας
Ἄμφις
Ἀναξανδρίδης
Ἀναξίλας
Ἀνάξιππος
Ἀντιφάνης
» alter
» tertius
Ἀπολλόδωρος Ἀθ.
» Γελ.
Ἀπολλοφάνης
Ἀραρώς
Ἀριστομένης
Ἀριστοφάνης
Ἀριστώνυμος
Ἀρχέδικος
Ἄρχιππος
Αὐγέας
Αὐτοκράτης
Βάτων
Δαμόξενος
Δεινόλοχος
Δεξικράτης
Διόδωρος
Διοκλῆς
Διώξιππος
Ἐπιγένης
Ἐπικράτης
Ἐπίλυκος
Ἐπίνικος
Ἐπίχαρμος
Ἔριφος
Ἕρμιππος
Εὐάγγελος
Εὔβουλος
Εὐθυκλῆς
Εὔπολις
Εὔσχημος
Εὔφρων
Ἔφιππος
Ἡγήμων
Ἡγήσιππος
Ἡνίοχος
Θεόγνητος
Θεόπομπος
Θεόφιλος
Ἵππαρχος
Καλλίας
Κάνθαρος
Κηφισόδωρος
Κράτης
» alter
Κρατῖνος
Λεύκων
Λύσιππος
Μάγνης
Μένανδρος
Μενεκράτης
Μένιππος
Μεταγένης
Μνησίμαχος
Μυρτίλος
Ναυσικράτης
Νικόστρατος
Νικοφῶν
Νικοχάρης
Ξέναρχος
Πλάτων
Πολύευκτος
Πολύζηλος
Ποσείδιππος
Ῥίνθων
Σαννυρίων
Στράττις
Στράτων
Σώπατρος
[» alter]
Σωτάδης
Σώφιλος
Σώφρων
[» alter]
Τηλέστης
Τηλεκλείδης
Τιμόθεος
Τιμοκλῆς
» alter

Τιμοκρέων
Φερεκράτης
Φιλέταιρος
Φιλήμων
» alter
Φιλιππίδης

Φίλιππος
Φιλίσκος
Φιλιστίων
Φιλύλλιος
Φιλωνίδης

Φοινικίδης
Φόρμος
Φρύνιχος
Χιωνίδης
Ὠφελίων

## V. Historici.

Ἀγαθίας
Αἰνείας
Ἀκουσίλαος
Ἀλέξανδρος Μυνδ.
Ἀναξίμανδρος
[Ἀντικλείδης]
Ἀντίπατρος
Ἀπολλώνιος
Ἀππιανός
Ἀσίνιος Πωλίων
Αὔγουστος Καῖσαρ
Ἀχιλλεὺς Τάτιος
Βάρρων
Βροῦτος
Δαμάστης
Δαμόκριτος
Δαμόστρατος
Δημήτριος Ἰλιεύς
Δίκτυς
Διόδωρος
Διονύσιος Μιλ.
» Ῥοδ.
Δίων
Δοῦρις
Ἑκαταῖος
[Ἑλλάνικος]
Ἑλλάνικος
Εὐαγόρας
Εὐγαίων
Εὐστάθιος

Εὐτρόπιος
Ἔφορος
» alter
Ἡρόδοτος
Ἡσύχιος
Θεμιστογένης
Θεόδωρος ἀναγν.
Θησεύς
Θουκυδίδης
Ἰάμβλιχος
Ἰάσων
Ἰδομενεύς
Ἱερώνυμος
[Ἰοῦστος Τιβ.]
Ἵππυς
Ἴστρος
Ἰώσηπος
Κάδμος
» alter
Καλλισθένης
Καπίτων
Κλήμης
Κοδράτος
Κρίτων
» alter
Λύκος
Μάναιχμος
Μαρσύας
» alter
[ » tertius]

Μένανδρος
Νύμφις
Ξάνθος
Ξενοφῶν
» alter
» tertius
Ὀνήσιμος
Παλαίφατος
Παμφίλη
Παυσανίας
Πέτρος
Πολέμων
Πολύβιος
Στράττις
Τεῦκρος
Τιμαγένης
» alter
⟨Τιμοχάρης⟩
Φερεκύδης
Φίλιππος
Φίλιστος
Φιλόχορος
Φλέγων
Φύλαρχος
Χαιρήμων
Χάραξ
Χαρίτων
Χάρων
» alter
» tertius

## VI. Grammatici.

Ἅβρων
Ἀθήναιος
Ἀκύλας
Ἀλέξανδρος Αἰτ.
Ἀλέξανδρος Μιλ.
Ἀμμώνιος
Ἀντέρως
Ἀντίμαχος
Ἀπίων
Ἀπολινάριος

Ἀπολλόδωρος
Ἀπολλώνιος Ἀλ.
» Ἀρχ.
Ἀρίσταρχος
Ἀριστόδημος
Ἀριστόνικος
Ἀριστοφάνης Βυζ.
Ἀρκάδιος
Ἀρχίβιος
» alter

Ἀσκληπιάδης?
Ἀστυάγης
Γάϊος Ἰούλιος Καῖσαρ
Δαφίδας
Δημήτριος Ἰξίων
Δημοσθένης Θρᾷξ
Δίδυμος Ἀρ.
Δίδυμος alter
» tertius
» quartus

Δίδυμος quintus
Δικαίαρχος
Διογενειανός
» alter
Διογένης
Διονύσιος Θρᾷξ
Διονύσιος Ἀλ.
» Ἀλ alter
Διοσκόριος
Εἰρηναῖος (cf. Πάκατος)
Ἑλλάδιος
Ἐπαφρόδιτος
[Ἐρέννιος (cf. Φίλων)]
Ἕρμιππος Βηρ.
Ἑρμόλαος
Εὐάγριος
Εὐγένιος
Εὐδαίμων
Ζηνόδοτος
» alter
Ἡρακλείδης Ποντ.
Ηρακλέων
Ἡρωδιανός
Ἡφαιστίων
Ἰόβας
Ἰωάννης Λυδ.
Ἰωάννης Στοβ.
[Ἰωάννης Φιλόπ.]
Καλλίμαχος
Λαμπρίας
Λούπερκος
Λυγκεύς
Μίθαικος
Μόσχος
Νίκανδρος
Νικάνωρ
Ὅμηρος
» alter (cf. Σέλλιος)
Πάκατος (cf. Εἰρηναῖος)
Παλαίφατος
Παλαμήδης
Πάμφιλος
Πάξαμος
Πτολεμαῖος
» alter
» tertius
» quartus
» quintus
Πωλίων
Ῥηγῖνος
Ῥιανός
Σέλευκος
» alter
[Σέλλιος (cf. Ὅμηρος)
Σερῆνος
Σῆμος
Σιμμίας
Σωσίβιος
Σωτηρίδας
[ » ]
Τήλεφος
Τιμόθεος
Τράγκυλλος
Τρυφιόδωρος
» alter
Τρύφων
Τυραννίων
Τυραννίων alter
Ὑπερέχιος
Φιλητᾶς
Φιλόξενος
Φίλων
Ὡραπόλλων
Ὠρίων
» alter
Ὧρος

## VII. Rhetores.

Ἄβας
Ἀδριανός
Ἀθηνόδωρος
[ » alter]
Αἰλιανός
Αἰσχίνης
Αἴσωπος
Ἀκάκιος
[Ἀκουσίλαος]
Ἀλέξανδρος Νουμ.
» Κλαυδ.
» Κασίλ.
» Πηλοπλ.
Ἀλκιβιάδης
Ἀναξαγόρας
Ἀναξιμένης
Ἀνδοκίδης
Ἀνδρόμαχος
Ἀνδροτίων
Ἀντισθένης
Ἀντιφῶν
» alter
» tertius
Ἄντυλλος
Ἄνυτος
Ἀρίστανδρος
Ἀριστείδης
Ἀριστογείτων
Ἀριστοκλῆς
Ἁρποκρατίων
» alter
» tertius
Ἀσπάσιος
» alter
» tertius
Αὐσόνιος
Ἀφαρεύς
Ἀφθόνιος
Ἀψίνης
» alter
» tertius
Ἄψυρτος
Βασιλικός
Βημάρχιος
Γαϊανός
Γάϊος Καῖσαρ
Γενέθλιος
Γέσιος
Γοργίας
Γυμνάσιος
Δείναρχος
Δέξιππος
Δημάδης
» alter
Δημοσθένης
Διονύσιος Ἀλ.
» alter
Δίων Προυσ.
Ἑλικώνιος
Ἐπιφάνιος
Ἑρμαγόρας
Ἑρμογένης
» Σμυρν.
Εὔδημος
Εὐοδιανός
Εὐσέβιος
Εὐστέφιος
Εὐστόχιος
Ζηνόβιος
Ζήνων
Ζωΐλος
Ζωναῖος

Ἡρώδης Ἰούλιος
Ἥρων
Θεμιστοκλῆς
Θεοδέκτης
» alter
Θεόδωρος Βυζ.
» Γαδ.
Θεόκριτος
Θεόπομπος
[Θεοφύλακτος] (cf. Σιμοκάττης)
Θέων Ἀλ.
» Οὐαλ.
» Γύμν.
» σοφ.
Θηραμένης
» alter (?)
Θρασύμαχος
Ἱμέριος
Ἰουλιανός
» alter
Ἱππίας
[Ἰσαῖος]
Ἰσοκράτης
» alter
Ἰφικράτης
Καικίλιος
Καῖσαρ Τιβέριος
[Καισάρειος]
Καλλίνικος
Κάστωρ
Κεφαλίων
Κέφαλος
Κοκκιανός
Κόκκος
Λαχάρης
Λέων Ἀλ.
Λεωνᾶς
Λιβάνιος
Λολλιανός
Λουκιανός
Λουκοῦργς
Λυσίας
Μαΐωρ
Μάλχος
Μάρκελλος
Μελήσερμος
Μέλητος
Μένανδρος
Μητροφάνης
» alter
Μινουκιανός
Μνασέας
Νεάνθης
Νικαγόρας
Νικόλαος
» Μυρ.
Νικόστρατος
Νουμήνιος
Ξενοκράτης
Ὀνάσιμος
Οὔαρος
Οὐηστῖνος
Οὐλπιανός
» alter
» tertius
Παγκράτιος
»
Παλλάδιος
Παῦλος Τυρ.
» Γερ.
» Αἰγυπτ.
Παυσανίας
Περικλῆς
Πολέμων
» alter
Πολύαινος
» alter
Πολυδεύκης
Πολυκράτης
Ποσειδώνιος
Ποτάμων
Πρίσκος
Προαιρέσιος
Πρωταγόρας
Πυθέας
Πωλίων
Πῶλος
Σαβῖνος
Σαλούστιος
Σαραπίων
Σεβῆρος
Σεκοῦνδος
Σέργιος
Σιβύρτιος
[Σιμοκάττης] (cf. Θεοφύλακτος)
Σιρίκιος
Σκοπελιανός
Σώπατρος
» alter
Τιμόλαος
Τουσκιανός
Τρωΐλος
Τύραννος
Ὑπερίδης
Φάλαρις
Φίλιππος
Φιλίσκος
Φίλιστος
Φιλόστρατος
» alter
» tertius
Φρόντων
Φρύνιχος

## VIII. Philosophi.

Ἀγάπιος
Αἰσχίνης
Ἀκύλας
Ἀλέξανδρος Αἰγ.
» Ἀφροδ.
Ἀλκιδάμας
Ἀλκίφρων
[Ἀμέλιος]
Ἀμμώνιος
Ἀναξίμανδρος
Ἀναξιμένης
Ἀνάχαρσις
Ἀνδροκλείδης
Ἀπολλώνιος Τυαν.
» alter
Ἀριγνώτη
Ἀρίστιππος
Ἀριστοκλῆς
» alter
Ἀριστόξενος
Ἀριστοτέλης
Ἀρκεσίλαος
Ἁρποκρατίων
Ἀρριανός
Ἀρτεμίδωρος
Ἀρχέλαος
Ἀρχιμήδης
Ἀρχύτας
Ἀσκληπιάδης
Ἀσπασία
Ἀφρικανός (ct. Σέξτος)
Βασίλειος
Βῶλος

Βῶλος alter
[Γρηγόριος]
» alter
[Γρηγόριος tertius]
Δαμάσκιος
Δαμόφιλος
Δημήτριος φαλ.
Δημόκριτος
Διαγόρας
Δίδυμος 'Ατ.
Δικαίαρχος
Διόδωρος
» alter
Δίων
Δομνῖνος
Δωσίθεος
Ἑκαταῖος 'Αβδ.
Ἑλικώνιος
Ἐμπεδοκλῆς
Ἐμπεδότιμος
Ἐπίκουρος
Ἐπίκτητος
Ἐπιφάνιος
Ἐρατοσθένης
Ἑρμαγόρας
Ἑρμείας
Ἑρμίας
Εὔδοξος
Εὐκλείδης
[Εὐσέβιος Παμφ.]
Ζήνων Ἐλ.
» Σιδ.
» Κιτ.
» Ταρ.
Ζωροάστρης
Ζωρομάσδρης
Ζώσιμος
Ἡρακλείδης
» alter
Ἡράκλειτος
Θαλῆς
Θεαίτητος
» alter
Θεανώ
» altera
Θεμίστιος
Θεοδόσιος
Θεόδωρος
Θεόφραστος
Θέων Ἀλ.
» Σμυρ.
» Ἀντ.
» Αἰγ.
Ἰάμβλιχος
Ἰάσων
Ἱεροκλῆς
Ἰουλιανός
» alter
[Ἰουστῖνος]
Ἱππαρχία
Ἵππαρχος
» alter
[Ἱππόβοτος]
[Ἱππόλυτος]
Ἰσίδωρος
Κάλλιππος
Καρνεάδης
» alter
Κέβης
Κελσῖνος
Κλεάνθης
Κλέαρχος
Κλεόβουλος
Κορνοῦτος
Κράτης
Κράτης Μαλλ.
Κρίτων
Λακύδης
Λεσβῶναξ
Λέων Βυζ.
Λογγῖνος
Λυκοῦργος
Μάναιχμος
Μάνεθως
» alter
Μάξιμος Τυρ.
» Ἠπ.
Μαρῖνος
Μάρκος Ἀντ.
Μέλισσος
Μουσώνιος
Μυῖα
Μυρώ
Νεοκλῆς
Νικόμαχος
Νουμήνιος
⟨Ξενοκράτης⟩
Ξενοφῶν
Οἰνόμαος
Ὀλυμπιόδωρος
Ὀνόσανδρος
Παλαίφατος
Πάμφιλος
Παναίτιος
» alter
Πανύασις
Πάππος
Παρμενίδης
Παῦλος
Περίανδρος
Περσαῖος
Πετόσιρις
Πιττακός
Πλάτων
Πλούταρχος
» alter
Πλωτῖνος
Πολέμων
Πόλλης
Πολύκαρπος
Πορφύριος
Ποσειδώνιος
» alter
Ποτάμων
Πρόδικος
Πρόκλος
» alter
» tertius
» quartus
Πτολεμαῖος
Πυθαγόρας
Πύρρων
[ » alter]
Πωλίων
Σαγχωνιάθων
Σαγχωνιάθης
Σάνδων (cf. Σχάμων)
Σέξτος
» alter (cf. Ἀφρικ.)
Σιλβανός
Σιμμίας
Σιμπλίκιος
Σχάμων (cf. Σάνδων)
Σκύλαξ
Σόλων
Σπεύσιππος
Στίλπων
Στράβων
Στράτων
Συνέσιος
Συριανός
Σωκράτης
Σωτάδας
Σωτάδης
Ταῦρος
Τηλαύγης
Τιβέριος
Τιμαγένης
Τίμαιος
Τίμων
[ » alter]
Τυραννίων

Ὑπατία
Φαβωρῖνος
Φαίδων
Φανίας
Φερεκύδης
Φιλίσκος
⟨Φίλιππος Ὀπούντιος⟩
Φίλων Ἰουδ.
Φίλων Καρπ.
Χαιρεφῶν
Χίλων
Χρύσιππος

## IX. Medici.

Ἄκρων
Ἀριστογένης
» alter
Ἀρχιγένης
Ἀστράμψυχος
Γαληνός
Δέξιππος
Δημοκήδης
Διοσκορίδης
Ἐρασίστρατος
Θέσσαλος
Ἰάκωβος
Ἱπποκράτης
» alter
» tertius
» quartus
» quintus — septimus
Κτησίας
Μάρκελλος
Μενεκράτης
Νικόμαχος
Ὀρειβάσιος
Παῦλος Αἰγ.
Ῥοῦφος
Σαλούστιος
Σωρανός
» alter
Φιλάγριος
Χείρων

## X. Musici.

Ἀμφίων
Ἀντιγενίδης
Λᾶσος
(Μαρσύας in praef.)
Ὄλυμπος
» alter
(Πυθοκλείδης in praef.)
(Σκύλαξ)

## XI. Pictores.

Ἀπελλῆς
Πάμφιλος
Πρωτογένης.

Typis Draegerianis (C. Feichtii).

## Aus dem Verlage von S. Calvary & Co. in Berlin.

**Albinos, der Platoniker, und der falsche Alkinoos.** (Hellenische Studien. 3. Heft) von J. Freudenthal. Lex. 8. 87 p. 2 M. 40 Pf.

**Archestrati Syracusii** sive **Gelensis quae feruntur apud Athenaeum reliquiae.** Recognovit W. Ribbeck. 4. eleg. geh. 1 M. 20 Pf.

**Aristides Quintilianus de Musica.** Nunc primum separatim edidit, e codicibus mss. recensuit, emendavit, annotavit et commentatus est Albertus Iahnius, doctor philosophiae honorarius, sodalis Academiae litterarum et scientiarum Regiae Monacensis cet. Pars prima: **Aristidis Quintiliani de musica libri III.** Cum brevi annotatione de diagrammatis proprie sic dictis, figuris, scholiis cet. codicum mss. LXII, 98 S. gr. 8 mit 2 lithogr. Tafeln in gr. fol. 6 M.

**Aristotelis de Melisso, Xenophane et Gorgia** disputationes cum Eleaticorum philosophorum fragmentis et Ocelli Lucani, qui fertur, de universi natura libello conjunctim edidit, recensuit, interpretatus est F. G. A. Mullachius. eleg. broch. 2 M. 50 Pf.

**Babrii fabulae jambicae CXXIII a Minoide Mena in monte Atho nuper repertae.** Ex recensione J. F. Boissonadii passim reficta cum brevi adnotatione critica ediderunt J. C. Orellius et J. G. Baiterus. 1 M.

**Bentley, R., dissertation upon the letters of Phalaris and other critical works** with introduction and notes by W. Wagner. 8 M.

**Boëce** de la consolation de la philosophie. Traduction grecque de **Maxime Planude** publiée pour la première fois dans son entier par E. A. Bétant. gr. 8. VII, 119 p. 4 M.

**Bybilakis, E., neugriechisches Leben** verglichen mit dem altgriechischen zur Erläuterung beider. eleg. broch. 1 M. 50 Pf.

**Colluthi Lycopolitani carmen de raptu Helenae** edidit Eugenius Abel. gr. 8. 140 p. 4 M.

**Democriti Abderitae operum fragmenta** ed. F. G. A. Mullachius. eleg. geh. 6 M.

**Erotemata grammatica ex arte Dionysiaca oriunda.** Maximam partem nunc primum edidit P. Egenolff. 4. geh. 1 M. 60 Pf.

**Eudemi Rhodii Peripatetici fragmenta quae supersunt** coll. L. Spengel. gr. 8. Pracht-Ausgabe auf Schweizer Velinpap. in Leinwandbd. 14 M.
— Dasselbe Werk in gewöhnlicher Ausstattung. geh. 3 M.

**Friedlein, G., de Heronis quae feruntur definitionibus** 4. geh. 1 M. 20 Pf.

**Joannis Alexandrini commentarius in Nicomachi Geraseni** introductionem arithmeticam primus edidit R. Hoche. 3 Theile. 4. geh. 3 M.

**Joannis Gazaei descriptio tabulae mundi et Anacreontea.** Recensuit Eugenius Abel. gr. 8. 87 p. 2 M. 40 Pf.

**Joannes Pediasimus Geometrie** zum erstenmale herausgegeben und erläutert von J. Friedlein. 4. mit 2 Tafeln. geh. 1 M. 60 Pf.

**Leonardi Chiensis de Lesbo a Turcis capta epistola Pio papae II** missa ex codice ms. Ticinensi primus edidit C. Hopf. 60 Pf.

## Aus dem Verlage von S. Calvary & Co. in Berlin.

**Longini quae supersunt graece aucta et emendata Ruhnkenii** dissertationem de vita et scriptis Longini, notulas, indices, alia additamenta disposuit et concinnavit A. E. Egger. Adjecta est appendix excerpta e Longini rhetoricis hactenus inedita continens. 1 M. 50 Pf.

**Manaraki, A., Neugriechischer Parnass** oder Sammlung der ausgezeichneteren Werke der neueren Dichter Griechenlands. 6 Hefte. 6 M.

**Nicolai, A., über Entstehung und Wesen des griechischen Romans.** Neue Auflage. geh. 1 M. 60 Pf

**Orphei Lithica.** Accedit **Damigeron de lapidibus.** Recensuit Eugenius Abel. gr. 8. VI, 198 p. 5 M.

**Phaedri Epicurei de natura deorum fragmentum** edidit et illustravit Ch. Petersen. 4. 1 M. 20 Pf.

**Philostrati, Flavii, de arte gymnastica libellus.** Recognovit, latine reddidit, illustravit C. H. Volckmar 2 M.

**Planudes, Maximus, traduction grecque (en vers) de la consolation de la philosophie de Boëce,** publiée pour la première fois dans son entier par E. A. Bétant. Lex. 8. eleg. geh. 4 M.

**Plotini de virtutibus et adversus gnosticos libellos.** Specimen editionis novae opp. Plotinianorum ed. A. Kirchhoff. 2 M.

**Rangabé, A. R., précis d'une histoire de la littérature néohellénique.** 2 Bde. eleg. geh. 8 M.

**Strehlke, W., de commentario anonymo in Aristotelis** de anima libros conscripto. eleg. geh. 1 M. 50 Pf.

**Theocriteorum scholiorum** pars inedita quam ad Cod. Genevensis fidem edidit J. Adert. 8. 100 S. 1 M. 50 Pf.

**Theognidis Megarensis reliquiae.** In novum ordinem disposuit, commentationem criticam et notas adjecit F. Th. Welcker. cart. 4 M.

**Treu, M., der sogenannte Lampriascatalog der Plutarchschriften.** 4. eleg. geh. 1 M. 20 Pf.

**Trois poèmes grecs du moyen-âge inédits.** Recueillis par feu le professeur W. Wagner. Avec le portrait de l'auteur. gr. 8. XX, 350 p. mit photograph. Portrait. 12 M.

**Veterum de elementis placita exhibuit** J. G. H. Swellengrebel. Lex. 8. eleg. geh. 3 M.

### Demnächst erscheinen:

**Gemoll, Wilhelm, Untersuchungen über die Quellen und die Entstehungsgeschichte der Geoponica.** ca. 16 Bogen. 8. ca. 6 M.

**Theophili Antecessoris** Paraphrasis Institutionum Caesarum ex optimis manuscriptis denuo collatis cum varietate lectionum et Jac. Curtii versione latina emendata, addita codicum manuscriptorum descriptione critica. Edidit Corradi Ferrini. ca. 40 Bogen. 8. ca. 12 M.